

Jac. Merrick.
1768.

Ed. Princeps

ΘΕΩΝΟΣ ΣΟΦΙΣΤΟΥ ΠΡΟ-
ΓΥΜΝΑΣΜΑΤΑ.

THEONIS SOPHI-
STAE PRIMAE APVD RHE-
torem exercitationes, innumeris qui-
bus ſcatebant antea mendis
IOACHIMI CAMERARII
PABERGENSIS
opera purgatæ, & in ſermonem
latinum conuerſæ.

*Adiectus eſt quoq; rerum & uerborum in
iiſdem memorabilium locupletiſs.* Index.

BASILEAE.

EXIMIO IVRISCONSVLTO ANDREAE Franco Camiciano uiro clariss.

IOACHIMVS CAMERARIVS Pabergensis S D.



AE P E multúmque cum singulari uoluptate recordor, Andrea, initiorum educationis meæ, & illa mecũ repetens primordia disciplinæ ac eruditionis, iucundissime sentio affici animum nostrum: idq; accidere existimo paulo liberalius institutis omnibus, cũ neq; generis neq; fortunæ & honorũ dulcior esse historia ulla possit, hac serie progressionum, ad quantulancunq; laudem & famã uirtutis. Hoc autem potissimum tempore has cogitationes repræsentarunt Theonis græca quædam scripta de studijs iuuenilibus, quæ ad usum bonorum ac bona

rum artium amantiũ adolescentium, & emendanda et in latinam linguam conuertenda suscepissem. Nam requirenti similes aliorum operas, inprimis occurrebat P. Mosellani etiã hac in parte cum sapientissima ratio, tum cura sedula ac labores praeclari, quem reminiscerer nos studiosiss. tam praeceptis quàm exemplis ad facultatem orationis disertae & copiosae instruere solitum. Extant ab illo ueterum quorundam editi libelli his de rebus. Extat & ipsius opusculum, in quo nihil unquam desiderauimus nisi prolixitatem, cùm quo grandius esset, eo melius futurum fuisse iudicaremus. Sed siue ille de industria quaedã pręcidit, seu alijs negocijs quo minus instituta longius prosequeretur, abductus fuit, & nauauit egregiam operam, & sibi hoc etiam opere immortale nomen peperit. De quo uiro, si, non modò ad quam in bonarum artium atq; literarum studio excellentiam

cellentiam peruenerit, ſed quanta e-
tiam illi ſpe ſua deqꝫ omnium exiſti-
matione proponi potuerit, uerba fa-
cere uelim, liber mihi ſit conſcriben-
dus, non epiſtola. Ac meretur ille qui
dem memóriam noſtram, & grati ani
mi teſtimonia, ut magiſter & præce-
ptor meus: nosqꝫ hæc illi cupide &
perſoluimus antea, & perſoluturi ſu-
mus poſthac, ubicunqꝫ occaſio ſeſe
obtulerit. Sed argumēto laudationis
illius peculiariter ſuſcepto, neqꝫ hic lo
cus fuerit, et haud ſcio an non ſatisfa-
cere omnes conatus ingenij & ſum-
mæ induſtriæ cura poſſit. Hoc ad te,
Andrea, ideo ſcribo libentius, quod
non ſolum tibi familiarius quàm mi-
hi notus fuerit Moſellanus, ſed quia
tu illius etiam cum naturam tum ſtu-
dium magis tunc intelligere potuiſti.
Nam cum ego, ut meminiſſe potes,
admodum puer, Lipſiam deductus,
& Georgio Vorhemio traditus fuiſ-
ſem, eidem præceptori cum quo & tu

uerſareris, iam quidem adoleſcens & eruditionis fama celebris, audiui poſt aliquot annos primum Crocum, græcas literas docentem, & poſt illius diſceſſionē aliquot deinde menſes Moſellani ſcholam frequentaui. Itaq; etſi ſatis diligens, ut illa in ætate, opera data utriq; à me fuit, iudicij tamen firmitas & grauitas ſententiæ adeſſe nō potuit. Diligentiæ uerò & aſſiduitatis meæ, quamuis alios teſtes potius quaſi corrogare, quàm ingenij & induſtriæ opera producere, putidum fortaſſe uideatur: tu tamen, ut opinor, memoria tenes, neq; ignauiſſimum, neq; inertiſſimum me inter plurimos condiſcipulos noſtros tum omnium iudicio habitum eſſe. Atq; animaduerti me tibi quoq; propter amorem et cupiditatē diſcendi eſſe cariorē. Ea autem omniū noſtrûm exiſtimatio erat de te, ut magiſtro noſtro ſoli te poſtponeremus, reliquis facile omnibus preſtare arbitraremur. Itaq; te ad-

te admirari, te ſpectare, tuam conſue tudinem ardentiſs. appetere, contendere ut crebro tecũ eſſe liceret, quod tibi quemque maxime familiarem doctiſſimũ reddi perſuaſum haberemus. In quo etiam melior fuit fortuna mea quàm aliorum, quod temporibus doctrinæ magiſtri noſtri eum ego locum tenerem, ut ad dextram tuam tranſuerſo ſcabello aſſiderẽ. Itaque multa à te mihi explicata, multa ſubiecta, multæ bonæ pręclaræq́ ſententiæ inſcriptæ, id quod mihi gratiſſimum erat, libellis meis fuere. Sed te mox doctrina & ſapientia tua, ad altiora euexere, & ad Reipub. adminiſtrationem prouexere. Nos autem in hoc curſu ſtudij mollioris & artium leniorum perſeuerauimus, & hanc planã æquabilemq́ uiam nõ exceſſimus. maluimusq́ in eo elaborare, cui ſucceſſuũ non nulla ſpes propoſita, quàm ad quod periculoſe aſpirare, et uiribus deficientibus niti uideremur.

Te autem ut me poſtea ſemper conſtantiſſimè dilexiſſe compertum habeo, ita ſcio hæc ſtudia literarum atq; humanitatis abieciſſe nunquam, ſed & ipſum, quantum liceret, excercuiſſe, & in alijs adiuuaſſe & auxiſſe. Itaque hoc tempore, cum placuiſſet edere Theonis Progymnaſmata oratoria, & Græca, & conuerſa à me in ſermonem latinum, tibi potiſſimum dedicanda, & quaſi peculiariter tranſmittenda illa, neq; te quenquam magis idoneum putaui, cum quo & de autore & ſcripto, deq; etiam opella noſtra quædam ueluti diſſererē. Quis autem hic autor fuerit, & quo tempore floruerit, certò affirmare non poſſum. Illum quidem hunc accipio, qui ſibi Aelij cognomentum ſumſiſſe à Suida, & Alexandrinus fuiſſe perhibetur. Satis autē apparet, & ingenio & doctrina, atq; etiam uſu bonarum artium egregie inſtructum fuiſſe, ut admodū dolendū ſit, hoc opus ipſius

tam deprauatũ mendosumq́ ad nos peruenisse. Inuentio egregia est. argumentationes, & ea quæ uocãt Græci ἐπιχειρήματα, luculenta. Verba electa: formaq́ orationis planè Attica. In præceptis autem nemo minus uulgaria secutus, nemo illa ab intelligentia & captu communi minus longe abduxisse reperitur. Sed hæc in libello ita corrupto, notari quidem facile possunt ab eruditioribus: non tamen et manifesta sunt, atq; eminentia. Incidimus autem iam olim in editum libellum Romæ, neq; postea unquam aliud exemplum adipisci licuit. Sed in Romano cum sunt plurima et turpissima errata, tum scriptionis series confusa est, & ordo turbatus, atq; libellus in multis locis mutilus. Nos autem innumerabilibus correctis, & suspecta quædam notauimus, & de reliquis, quod potuimus, id fecimus. Scio autem te libenter lecturum hoc scriptum, idemq́ quod ego iudicaturum.

rum; utilitatem non exiguam harum rerum cognitionem allaturam esse adolescentibus bonarũ artium studiosis. E quibus tamen hanc maximam ij percæpturi sunt, qui non modò legere hæc, sed cogitando sequi, & studij sui diligentia explicare disponereq; uoluerint. Nam de mea conuersione nihil sum dicturus, nisi me studuisse fideliter græca reddere latinis: quem conatum cupio à bonis, ut par est, probari. Si quod uerò per ignorantiam aut obliuionem peccatum commissum à nobis forte aliquis deprehenderit, illius non ita nos pudebit, si admoniti fuerimus, quin & agnoscere & ipsi studiose corrigere uelimus. Istos autem umbraticos & obscuros alienorũ laborum arrosores, nihil moramur, facileq; patimur, ut hoc pabulo occultarum reprehensionum alant maleuolentiã suam. Orationis quidem formã à latinitate non abhorrere confidimus. Sed aliter scri-

bimus noſtra, aliter ea quæ aliunde transferimus: neq; hęc eodem modo omnia, de quo in pręſentia diſputandi locum eſſe nõ putamus. Tu noſtro nomine, ſi uidebitur, cũ Fachſio etiã ſummo uiro apud uos, communicabis hunc libellum. Cui etſi ego Lipſię olim, ut ſuſpicor, notus nõ fui, tamen præclare memini, ſingularẽ illis temporibus exiſtimationẽ fuiſſe de ipſo, ut ad ſummę faſtigiũ laudis peruenturus eſſe iam tum uideretur omnibus. quam quidem ille opinionem etiam, ut apparet, uicit, omnium expectatione ſuperata præſtantia ſua. Vale mi Andrea, & ut facis, nos ama. Tubinga Sueuiæ, III Cal. Sextilis.

Anno M. D. XLI.

LOCORVM ALIQVOT IN Græcis Latinisq; deprauatorum emendatior lectio.

CArta 2. uersu 13 lege ἐρωτηθ.

C. 11. V. à fine 2. deprauata est scriptura inculcatione annotationis. nam pro τῶν ἐν ἑκατέρῳ, ut prior habebat editio, legendũ uidetur τῷ ἑκαταίῳ.

C. 14. u. à f. penultimo, παρ' ἡροδότῳ ἐν τῇ δευτέρᾳ. & similiter in uersione, Herodoti in secundo. cum locus extet κλειοῖ, id est libro primo.

C. 16. u. 15. κεφάλαιον,

C. 17. u. 12. ἀγγέλλων τις

C. 20. u. 10. à f. διατεθεὶς,

C. 25. u. 13. ἐποίσομεν τὸ δι.

C. 26. u. 3. τῶν μειζόνων

C. 27. u. à f. 4. ἢ λελέχθαι

C. 30. u. à f. 5. συμφέρον ἢ ἀσύμφορον.

C. 35. u. à f. 7. οὐχὶ ἐν ταὐ. & u. à f. 3. γέλασσαν.

C. 43. u. 4. ἠμύνατο

C. 48. u. 10. πρόσκειται,

Eadem, u. à f. 4. πᾶρ ἐστιν. & mox, κανδαύλην

C. 50. u. 2. ὁ ταλὰν

C. 52. u. à f. 8. ποία γωνὴ, uerior lectio uidetur, ut & alibi hoc dictũ reperitur, ποσταία, id est quotuma.

C. 58. u. à f. 9. ἀρχομ.

C. 62. u. 1. μειδιά.

C. 78. u. 13. ἀτυχῶν ταπειν.

C. 81. u. à f. 8. ἐπάξομεν.

C. 92. u. à f. 10. παρεσάγων πατ.

C. 96. u. 7. προὐργιαίτερον

C. 102. u. à f. 10. λόγῳ μὲν ἐν ἄν.

C. 109. u. 2. τοῖς ἐχθρῶν. puncto hæc à superioribus, ut ἐπιμύθιον, distinguenda.

C. 111. u. 9. τὸ μὲν τοῖς εἰκ. similiter à superioribus distinguendum. Epimythij enim loco subijciuntur.

C. 112. u. 8. πυρ, τι ἀπὸ

C. 114. u. 9. πῶς οὖν ἀλέξανδρος; & de uersu sequente interrogationis notam exime.

C. 115. u. à f. 8. σφαλλομένους.

C. 118. u. 8. ἐ τοῖς ἀπορ.

C. 126. u. 6. οὐ γὰρ μὴ συγχωρήσαντος οὐκ ἂν ποτ' ἐπέτρ.

C. 129. u. 6. ἐκόσμησεν.

C. 143. u à f. 8. sic colloca distinctionum notas. σκοπῶμεν δ' ὅπως.

C. 145. u. 11. δραχμῶν

C. 153. u. 12. φιλονεικῆσαι,

C. 158. u. à f. 5. ἀποπλεῦσαι,

C. 160, ita enim et numerus emendandus, u. à f. 4. καὶ ὁ συνηχ.

C. 181. u. 10. πέπραμ.

C. 182. u. à f. 7. συγχυθ.

C. 183. u. 5. διὰ τί; ὅτι τοῖς

C. 185. u. à f. 5. νῦν δὲ ἐχ.

C. 190. u. 2. ἐπὶ τῶ συμμαχῶν

C. 191. u. à f. 8. συνήθεις λόγον.

C. 207. u. 5. σπενδόμ.

C. 214. u. 6. πολλοὺς,

C. 222. u. 14. ἐφ' αὐτῆ & u. 18. τ̃ δρωμένων

C. 224. u. 2. ἀπῆλθεν

EX VERSIONE.

C. 235. u. 7. anus fem. & 10. id autem,

C. 236.

C.236. u.ultimo, Non si quid (uit.
C.243. u.à f. 3. consue-
C.255.u.9. logopœum
C.257.u.à f.7 quendam
C.259.u.à f.6.assertionis
C.281.u.ultimo, interrogatorie
C.292.u. 6. nunquam
C.314.u.penultimo, sup petant
C.317.u.8. parandarum
C.322. u.12. adde distinctionis notam post potior,
C.337. locus Homericus extat Odyss.τ´.
C.354. u.10. necesse est.
C.361.u.à f.3.uniuersis
C.368.u.3.fontis scaturiginis Siculæ,
C.371.u.à f.5.dico enim ego
C.372. u.3. & deinceps lege, qum amici delinquentes castigent, qum err.
C.380.u.9.præcipua dignus ui.
C.389. u.16. caussarum scriptiones,
C.399. u.7. coniūgant.
C.405.u.5. ueneant
C. 408. u. 11. istis omn.
C.416. u.ultimo, natura ipsa noctis
C. 419. u.à f.11. nullus sol.
C.420. u.à f.9. esset ut rect. & u. 5. inane Et penultimo, non enim in cop.
C. 427. u.à f.3. fuerat.
C.450.u.à f.7.neq; eam uiam (cum
C.452.u.penul. captum
C. 457. u.3. particeps,
C.481.u.1.partim odisse
C. 497. u.4. O Pelium.
C. 501. u. à f.3.pertuderat.
C. 504. u. 4. porticûm & u. penult. fores progr.

F I N I S.



ΘΕΩΝΟΣ ΣΟΦΙΣΤΟΥ ΠΡΟΓΥΜΝΑΣΜΑΤΑ.



ΟΙ ΜΕΝ παλαιοὶ τῶν ῥητόρων, καὶ μάλιστα οἱ εὐδοκιμηκότες, οὐκ ᾤοντο δεῖν ἐφικέσθαι τρόπον τινὰ τῆς ῥητορικῆς, πρὶν ἁμωσγέ πως ἅψασθαι φιλοσοφίας, καὶ τῆς ἐκεῖθεν ἐμπλησθῆναι μεγαλονοίας. νῦν δὲ οἱ πλεῖους τοσοῦτο δέουσι τῶν τοιούτων ἐπαΐειν, ὥστε οὐδὲ τῶν ἐγκυκλίων καλουμένων μαθημάτων ὁπωσοῦν μεταλαμβάνοντες, ᾄττουσιν ἐπὶ τὸ λέγειν. καὶ τὸ πάντων ἀγροικότατον, ὅτι οὐδὲ οἷς προσῆκόν ἐστιν ἐγγυμνασάμενοι, ἐπὶ τὰς δικανικὰς καὶ δημηγορικὰς ἰου-

τὰς ὑποθέσεις. τὸ δὴ λεγόμενον κατὰ τὴν παροιμίαν, ἐν πίθῳ τὴν κεραμείαν μανθανόντων. περὶ μὲν οὖν τῶν ἄλλων, ἃ χρὴ μανθάνειν τὸν μέλλοντα ῥητορεύειν, ἄλλοι γραφέτωσαν. ἃ δὲ πρὸ τῆς ὑποθέσεως, ἀναγκαῖόν ἐστιν εἰδέναι τε, καὶ ἐπιμελῶς ἐγγυμνάζεσθαι, ταῦτα νῦν πειράσομαι παραδοῦναι. οὐχ ὡς οὐχὶ καὶ ἄλλων τινῶν συγγεγραφότων περὶ τούτων, ἀλλ' οὐ μικρόν τι καὶ αὐτὸς ἐλπίζων συλλήψεσθαι τοῖς λέγειν προαιρουμένοις. οὐ γὰρ μόνον τοῖς ἤδη παραδεδομένοις γυμνάσμασιν, ἕτερα ἄττα ἐπεξεύρομεν, ἀλλὰ καὶ ἑκάστου ὅρον ἐπειράθημεν ἀποδοῦναι. ὥστε ἐρωτηθέντα, τί ἐστιν ἕκαστον αὐτῶν, ἔχειν εἰπεῖν. οἷον, ὅτι μῦθός ἐστι λόγος ψευδὴς, εἰκονίζων ἀλήθειαν. ἔτι τε καὶ τὴν διαφορὰν αὐτῶν πρὸς ἄλληλα δεδηλώκαμεν, καὶ τὰς ἀφορμὰς τῶν εἰς ἕκαστον λόγων παραδεδώκαμεν. προσυπεδείξαμεν δὲ, καὶ ὡς ἄν τις αὐτοῖς ἐπιμελέστατα χρήσαιτο. ὡς δὲ καὶ παντελῶς εἰσὶν ὠφέλιμα τοῖς τὴν ῥητορικὴν δύναμιν ἀναλαμβάνουσιν, οὐδὲ τοῦτο ἄδηλον. ὅ, τε γὰρ καλῶς καὶ πολυτρόπως διήγησιν καὶ μῦθον ἀπαγγείλας, καλῶς καὶ ἱστορίαν συνθήσει, καὶ τὸ ἰδίως ἐν ταῖς ὑποθέσεσι καλούμενον ἴδιον διήγημα.

οὐδὲ

οὐδὲ γὰρ ἄλλο τί ἐστιν ἱστορία, ἢ σύστημα διηγήσεως. ὅ, τ' ἀνασκευάσαι ταῦτα ἢ κατασκευάσαι δυνάμενος, μὴ μακρὸν ἀπολείπεται τῶν τὰς ὑποθέσεις λεγόντων. πάντα γὰρ ὅσα ποιοῦμεν ἐν ταῖς δικανικαῖς ὑποθέσεσι, καὶ ἐνταῦθά ἐστι. πρῶτον μὲν, προοίμιον, καὶ διήγημα. ἔπειτα δὲ πρὸς ἕκαστον τῶν εἰρημένων ἐν τῷ διηγήματι, ἢ τῷ μύθῳ, πειρώμεθα ἀπαντᾶν, καὶ ἐφ' ἑκάστῳ πορίζεσθαι ἔλεγχον. ἔτι δὲ καὶ φροντίζομεν, ὅπως καλῶς τάξομεν ἕκαστον τῶν ἐπιχειρημάτων, καὶ αὐξάνομεν δὲ καὶ διασύρομεν, καὶ τἆλλα περὶ ὧν ὑπὸ τοῦ παρόντος μακρὸν ἂν εἴη λέγειν. καὶ μὴν, ἡ διὰ τῆς χρείας γυμνασία, οὐ μόνον τινὰ δύναμιν λόγων ἐργάζεται, ἀλλὰ καὶ χρηστόν τι ἦθος, ἐγγυμναζομένων ἡμῶν τοῖς τῶν σοφῶν ἀποφθέγμασιν. ὁ δὲ καλούμενος κοινὸς τόπος, καὶ ἡ ἔκφρασις, προφανῆ τὴν ὠφέλειαν ἔχουσι πανταχοῦ τῶν παλαιῶν, τῶν μὲν ἱστορικῶν πάντων, ὑπὸ πλεῖστον τῇ ἐκφράσει, τῶν δὲ ῥητορικῶν, τῷ τόπῳ κεχρημένων. καὶ ἡ προσωποποιία δὲ, οὐ μόνον ἱστορικὸν γύμνασμά ἐστιν, ἀλλὰ καὶ ῥητορικὸν, καὶ διαλογικὸν, καὶ ποιητικόν. κἂν τῷ καθ' ἡμέραν βίῳ, κἂν ταῖς πρὸς ἀλλήλους ὁμιλίαις

πολυωφελέστατον, καὶ πρὸς τὰς ἐντεύξεις τῶν συγγραμμάτων χρησιμώτατον. διὰ τοῦτο, πρῶτον μὲν Ὅμηρον ἐπαινοῦμεν, ὅτι οἰκείους λόγους περιτέθεικεν ἑκάστῳ τῶν εἰσαγομένων προσώπων. τὸν δὲ Εὐριπίδην καταμεμφόμεθα, ὅτι παρὰ καιρὸν αὐτῷ ἑκάβη φιλοσοφεῖ. ἀλλὰ μὴν καὶ τὸ τῆς συγκρίσεως γύμνασμα, καὶ ἐν τοῖς δικανικοῖς λόγοις ἐστὶ χρήσιμον, συγκρινόντων ἡμῶν, ἤτοι τὰ ἀδικήματα τοῖς ἀδικήμασιν, ἢ τὰ εὐεργετήματα τοῖς εὐεργετήμασιν. ὁμοίως δὲ καὶ τοῖς ἐγκωμίοις, ἀντιπαραβαλλόντων ἡμῶν τὰς εὐπραγίας. ἐν δὲ ταῖς συμβουλαῖς, καὶ πάνυ ἔκδηλος ὠφέλεια. περὶ γὰρ τὸ αἱρετώτερον εἰσὶν οἱ τῶν συμβουλευόντων λόγοι. περὶ δὲ τῆς θέσεως, τί ἂν τις λέγοι; οὐδὲν γὰρ ἄλλο τῆς ὑποθέσεως διαφέρει, πλὴν ὅτι προσώπων ὡρισμένων, καὶ τόπου, καὶ χρόνου, καὶ τρόπου, καὶ αἰτίας ἐστὶν ἀπαρέμφατον. οἷον, θέσις μὲν, εἰ προσήκει πολιορκουμένοις στράτευμα πέμπειν εἰς τὴν ὑπερορίαν. ὑπόθεσις δὲ, εἰ ἀθηναίοις προσήκει πολιορκουμένοις ὑπὸ πελοποννησίων, εἰς σικελίαν στράτευμα πέμπειν. ὁμοίως δὲ καὶ ἡ τῶν νόμων κατηγορία, καὶ ἡ ἀπολογία, οὐκ ἐλάχιστον μέρος τῆς ὑποθέσεώς ἐστιν, οἱ γοῦν κάλλι-

στοι τῶν δημοσίων λόγων εἰσὶν, ἐν οἷς περὶ νόμου τι, ἢ ψηφίσματος ἀμφισβητεῖται. λέγω δὲ τὸν, τε περὶ στεφάνου, καὶ τὸν κατὰ ἀνδροτίωνος, καὶ τιμοκράτους καὶ ἀριστοκράτους. ὀλίγον γὰρ διήνεγκεν, εἰ μὴ νόμον, ἀλλὰ ψήφισμα ὁ ἀριστοκράτης ἔγραψε. τοῦτο δὲ τὸ ἐγκώμιον, οὐδὲ αὐτὸς μὲν ἀγνοῶ, ὅτι εἶδός ἐστιν ὑποθέσεως. τῆς γὰρ ὑποθέσεως, εἴδη τρία. ἐγκωμιαστικὸν, ὅπερ ἐκάλουν ἐπιδεικτικὸν οἱ περὶ τὸν Ἀριστοτέλην, δικανικὸν, συμβουλευτικόν. ἀλλ' ἐπεὶ καὶ τοῖς νεωτέροις προβάλλειν πολλάκις εἰώθαμεν ἐγκώμια γράφειν, διὰ τοῦτο ἐν τοῖς προγυμνάσμασιν αὐτὸ ἔταξα. καὶ ἅμα τὴν μὲν ἀκριβῆ τούτου τεχνολογίαν ὑπερθέμενος εἰς τὴν προσήκουσαν χώραν. νῦν δὲ, ἁπλουστέραν πεποίημαι τὴν διδασκαλίαν. ἡ δὲ ἀνάγνωσις, ὡς τῶν πρεσβυτέρων τις ἔφη, "
"Ἀπολλώνιος δοκεῖ μοι ὁ ῥόδιος, τροφὴ λέξεως "
"ἐστι. τυπούμενοι γὰρ τὴν ψυχὴν ἀπὸ καλῶν "
παραδειγμάτων, κάλλιστα καὶ μιμησόμεθα. τὴν δὲ ἀκρόασιν, τίς οὐκ ἂν ἀσμενίσειε, τὰ μετὰ πόνων τοῖς ἄλλοις εἰργασμένα, ἑτοίμως λαμβάνων. ἀλλ' ὥσπερ τοῖς ζωγραφεῖν βου- "
"λομένοις οὐδὲν ὄφελος κατανοεῖν τά τε ἀ- "
"πελλοῦ, καὶ πρωτογένους, καὶ ἀντιφίλου ἔργα, ἐὰν "

» μὴ καὶ αὐτοὶ γράφειν ἐπιχειρῶσιν, οὕτω καὶ
» τοῖς ῥητορεύειν μέλλουσιν, οὔτε τῶν διανοη-
» μάτων τὸ πλῆθος, οὔτε τὸ περὶ τὴν λέξιν
» καθαρόν, οὔτε σύνθεσις ἡρμοσμένη, οὔτε ἀ-
» κρόασις ἀστεία, οὔτε ὅλως τῶν ἐν τῇ ῥητορικῇ
» καλῶν οὐδέν ἐστι χρήσιμον, ἐὰν μὴ καὶ αὐτὸς
» ἕκαστος ταῖς καθ' ἑκάστην ἡμέραν γραφαῖς
» ἐγγυμνάζηται. ἡ δὲ παράφρασις, οὐχ ὥς τισιν εἴρηται, ἢ ἔδοξεν, ἄχρηστός ἐστι. τὸ γὰρ καλῶς εἰπεῖν, φασίν, ἅπαξ περιγίνεται, δὶς δὲ οὐκ ἐνδέχεται. οὗτοι δὲ σφόδρα τοῦ ὀρθοῦ διημαρτήκασι. τῆς γὰρ διανοίας ὑφ' ἑνὶ πράγματι μὴ καθ' ἕνα τρόπον κινουμένης, ὥστε τὴν προσπεσοῦσαν αὐτῇ φαντασίαν ὁμοίως προσενέγκασθαι, ἀλλὰ κατὰ πλείους, καὶ ποτὲ μὲν ἀποφαινομένων ἡμῶν, ποτὲ δὲ ἐρωτώντων, ποτὲ δὲ πυνθανομένων, ποτὲ δὲ εὐχομένων, ποτὲ δὲ κατὰ ἄλλον τινὰ τρόπον τὸ νοηθὲν ἐκφερόντων, οὐδὲν κωλύει κατὰ πάντας τοὺς τρόπους, τὸ φαντασθὲν ἐπίσης καλῶς ἐξενεγκεῖν. μαρτυρία δὲ τούτου, καὶ παρὰ ποιηταῖς, καὶ ἱστορικοῖς, καὶ ἁπλῶς πάντες οἱ παλαιοὶ φαίνονται τῇ παραφράσει ἄριστα κεχρημένοι, οὐ μόνον τὰ ἑαυτῶν, ἀλλὰ καὶ τὰ ἀλλήλων μεταπλάσσοντες, Ὁμή-

ρον μεταφράζων, ὅτι φησί, Τοῖος γὰρ νόος
ἐστὶν ἐπιχθονίων ἀνθρώπων, Οἷον ἐπ' ἦμαρ ἄ-
γῃσι πατὴρ ἀνδρῶν τε, θεῶν τε. ὁ Ἀρχίλοχος,
Τοῖος ἀνθρώποισι γὰρ θυμὸς Γλαῦκε Λεπτίνεω
παῖ γίνεται Θνητοῖσ' ὁκοῖον Ζεὺς ἐφ' ἡμέρην
ἄγει. καὶ πάλιν Ὅμηρος, ἄλωσιν πόλεως τοῦτον
τὸν τρόπον εἴρηκεν. Ἄνδρας μὲν κτείνουσι, πόλιν
δέ τε πῦρ ἀμαθύνει, Τέκνα δέ τ' ἄλλοι ἄγου-
σι, βαθυζώνους τε γυναῖκας. ὁ δὲ Δημοσθένης
οὕτως. ὅτε γοῦν ἐπορευόμεθα εἰς Δελφούς, ἐξ
ἀνάγκης ὁρᾶν ἦν ταῦτα πάντα. οἰκίας κατε-
σκαμμένας, τείχη περιῃρημένα, χώραν ἔρημον
τῶν ἐν ἡλικίᾳ. γύναια δὲ, καὶ παιδάρια ὀλί-
γα, καὶ πρεσβύτας ἀνθρώπους οἰκτρούς. ὁ δὲ
Αἰσχίνης, οὕτως. ἀλλὰ ταῖς γε διανοίαις ἀποβλέ-
ψατε, αὐτῶν εἰς τὰς συμφοράς, καὶ νομίσατε
ὁρᾶν ἁλισκομένην τὴν πόλιν, τειχῶν κατα-
σκαφάς, ἐμπρήσεις οἴκων, ἱερὰ συλώμενα,
ἀγομένας γυναῖκας καὶ παῖδας εἰς δουλείαν,
πρεσβύτας ἀνθρώπους, πρεσβύτιδας γυναῖ-
κας, ὀψὲ μεταμανθάνοντας τὴν ἐλευθερίαν. ἔτι δὲ
ὁ μὲν Θουκυδίδης φησί, φθόνος γὰρ τοῖς ζῶσι πρὸς
τὸ ἀντίπαλον, τὸ δὲ μὴ ἐμποδὼν, ἀνανταγωνίστῳ
εὐνοίᾳ τετίμηται. ὁ δὲ Θεόπομπος, ἐπίσταμαι γὰρ
ὅτι τοὺς μὲν ζῶντας πολλοὶ μετὰ δυσμενείας

» ἐξετάζουσι, τοῖς δὲ τετελευτηκόσι διὰ τὸ πλῆ-
» θος τῶν ἐτῶν, ἐπανιᾶσι τοὺς φθόνους. ὁ δὲ Δη-
μοσθένης, οὕτω. τίς γὰρ οὐκ οἶδε τῶν πάντων, ὅτι
» τοῖς μὲν ζῶσιν ἅπασιν, ὕπεστί τις ἢ πλείων, ἢ
» ἐλάττων φθόνος; τοὺς τεθνεῶτας δὲ, οὐδὲ τῶν ἐχ-
» θρῶν οὐδεὶς ἔτι μισεῖ. καὶ μήν τοι γε ὁ Φίλιστος, τὸν
ἀττικὸν ὅλον πόλεμον ἐν τοῖς σικελικοῖς, ἐκ τῶν
θουκυδίδου μετενήνοχε, καὶ Δημοσθένης εἰς τὸν
κατὰ μειδίου, τά τε λυσίου, καὶ λυκούργου, ἐκ τοῦ
περὶ ὕβρεως λόγων, καὶ τὰ ἰσαίου, ἐκ τῶν κατὰ
διοκλέους ὕβρεως. εὕροις δ' ἂν καὶ παρὰ Ἰσοκρά-
τει ἐν τῷ πανηγυρικῷ, τὰ ἐν τῷ λυσίου ἐπι-
ταφίῳ, καὶ τῷ ὀλυμπικῷ. ἀλλὰ μὴν καὶ αὐ-
τὸς ὁ Δημοσθένης, πολλάκις ἑαυτὸν παραφρά-
ζει, οὐ μόνον τὰ ἐν ἄλλοις λόγοις αὐτῷ εἰρημένα
ἀλλαχόσε μεταφέρων, ἀλλὰ καὶ ἐν ἑνὶ λόγῳ
πολλάκις φαίνεται ταῦτα μυριάκις εἰρηκώς.
τῇ δὲ περὶ ἑρμηνείας ποικιλίᾳ, λανθάνει τοὺς ἀ-
κούοντας. ἐν μὲν γε τῷ κατὰ μειδίου φησί,
» τίς γὰρ ἡμῶν οὐκ οἶδε, τοῦ μὲν πολλὰ τοιαῦ-
» τα γίνεσθαι, τὸ μὴ κολάζεσθαι τοὺς ἐξαμαρτά-
» νοντας αἴτιον ὄν. τοῦ δὲ μηδένα ὑβρίζειν τὸ
» λοιπὸν, τὸ δίκην τὸν ἀεὶ ληφθέντα, ἣν προ-
» σήκει διδόναι, μόνον αἴτιον γινόμενον. ἐν δὲ
τῷ κατὰ ἀριστοκράτους, τὸ δὲ αὐτὸ καὶ κατὰ
ἀνδροτίω-

ἀνδροτίωνος. οὐ γὰρ εἰ ἦν πώποτε μὴ κατὰ τοὺς νόμους ἐπράχθη, σὺ δὲ τοῦτ' ἐμιμήσω, διὰ τοῦτ' ἀποφύγοις ἂν δικαίως. ἀλλὰ τοὐναντίον, πολὺ μᾶλλον ἁλίσκεσθαι διὰ ταῦτα. ὥσπερ γὰρ εἴ τις ἐκείνων ἑάλω, σὺ τάδ' οὐκ ἂν ἔγραψας, οὕτως ἂν σὺ δίκην δῷς, ἄλλος οὐ γράψει. ἐν δὲ τοῖς Φιλιππικοῖς, τὰ αὐτὰ πράγματα ἄνω καὶ κάτω λέγων διατετέλεκε. καὶ ἐν τῷ πρὸς Λεπτίνην, ὅτι μὴ δεῖ τοὺς εὖ ποιήσαντας ἀφελέσθαι τὰ δοθέντα, οὐδ' ὀλιγάκις εἴρηκεν. ἐν δὲ τῷ ὑπὲρ τοῦ στεφάνου, ὅτι οὐκ ἐκ τοῦ τέλους τῶν πεπραγμένων κατηγορεῖν δίκαιον ἦν, ἀλλὰ καθ' ἕκαστον τῶν πολιτευμάτων ἐλέγχειν, παρ' ὅλον τὸν λόγον παρέσπαρται. τὰ δὲ περὶ τῆς λύσεως τῶν αἰχμαλώτων, τίς οὐκ οἶδεν ἐν τῷ περὶ τῆς παραπρεσβείας διατεθρυλλημένα; καὶ μὴν καὶ τὸ τῆς ἐξεργασίας εἶδος, πολλαχοῦ τε ἄλλοθεν ὠφέλιμον, μάλιστα δὲ ἐν ταῖς ἐντοπολογίαις. ἡ δὲ ἀντίρρησις, ἐν ταῖς ἀντιγραφαῖς. τὴν δὲ τάξιν τῶν γυμνασμάτων αὐτῶν, οὕτω ποιησόμεθα. πρῶτον μὲν, ἀπὸ τῆς χρείας. βραχύ τε γὰρ τοῦτο, καὶ εὐμνημόνευτον. ἔπειτα δὲ τοῦ μύθου καὶ τῆς διηγήσεως, πλὴν τῆς τούτων ἀνασκευῆς τε καὶ κατασκευῆς, ταῦτα γὰρ τῶν ἄλλων ὕστερα,

ἔοικέ πως εἶναι. ὡμολόγηται γὰρ παρὰ πᾶσιν, ὅτι τοῦ ῥήτορος ἔργον ἐστὶ, τό, τε ἀποδεῖξαι τὰ ἀμφισβητούμενα, καὶ τὸ αὐξῆσαι τὰ ἀποδεδειγμένα. πρότερον μὲν οὖν τῇ φύσει καὶ τῇ χρήσει ὁ ἀποδεικτικὸς λόγος, ἕπεται δὲ ὁ αὐξητικός. πρῶτον γὰρ δεῖ τινα ὡς προδότην ἐλέγξαι, εἶτα ὡς ἐπὶ μεγάλῳ ἀδικήματι τῇ προδοσίᾳ, τοὺς ἀκούοντας παροξύναι. οὐ μὴν ὥσπερ τῇ φύσει πρότερον τὴν ἀπόδειξιν ἔφαμεν τῆς αὐξήσεως, οὕτω καὶ τὴν γυμνασίαν ἔχειν συμβέβηκεν, ἀλλὰ καὶ πᾶν τοὐναντίον. πρότερα γὰρ τὰ ῥᾷστα τῶν δυσχερεστέρων, ῥᾷον δὲ αὐξῆσαι τὸ φανερὸν, ἢ τὸ ἀφανὲς ἀποδεῖξαι. διόπερ αὐτοὶ ἀρχόμενοι ἐξ ἰδίας δυνάμεως ἐγχειρεῖν, καὶ ἀνασκευάζειν, ἢ κατασκευάζειν, ἀρξόμεθα ἀπὸ τοῦ τόπου, εἶτα περὶ ἐκφράσεως, ἑξῆς δὲ τῆς προσωποποιίας, εἶτα ἐν τοῖς ἐγκωμίοις γυμνασόμεθα, εἶτα ἐν ταῖς συγκρίσεσι. ταῦτα γάρ ἐστι τὰ ὁμολογούμενα, καὶ μηδεμίαν ἀντιλογίαν ἔχοντα. μετὰ δὲ ταῦτα, καὶ πρὸς τοῖς ἀμφισβητουμένοις γυμνάσμασι, τὴν ἄσκησιν ποιησόμεθα. ἔστι δὲ πρῶτον αὐτῶν ἡ τῶν χρειῶν ἀνασκευὴ, εἶτα τῶν αἰσωπείων λόγων, καὶ τῶν ἱστορικῶν καὶ μυθικῶν διηγήσεων, εἶτα τῶν θέσεων, καὶ ἑξῆς ἡ τῶν νόμων. τῇ δὲ ἀναγνώσει,

καὶ τῇ

καὶ τῇ ἀκροάσει, καὶ τῇ παραφράσει χρησόμεθα ἀπ' ἀρχῆς. τῇ δὲ ἐξεργασίᾳ, καὶ πολλῷ μᾶλλον τῇ ἀντιῤῥήσει, ὅταν ἕξιν τινὰ περιποιησώμεθα.

ΠΕΡΙ ΤΗΣ ΤΩΝ ΝΕΩΝ ἀγωγῆς. ἐν ᾧ καὶ περὶ τῆς παρὰ τοῖς παλαιοῖς χρήσεως τῶν προγυμνασμάτων.



ΠΡΩΤΟΝ μὲν ἁπάντων χρὴ τὸν διδάσκαλον, ἑκάστου γυμνάσματος εὖ ἔχοντα, παραδείγματα ἐκ τῶν παλαιῶν συγγραμμάτων ἀναλεγόμενον, προστάττειν τοῖς νέοις ἐκμανθάνειν. οἷον χρείας μὲν, ὁποία ἐστὶν ἡ παρὰ Πλάτωνι, ἐν τῷ πρώτῳ τῆς πολιτείας. Σοφοκλεῖ ποτε τῷ ποιητῇ προσελθών τις, πῶς ἔφη Σοφόκλεις ἔχεις πρὸς τὰ ἀφροδίσια. ἔτι οἷός τε εἶ γυναικὶ συγγίνεσθαι; καὶ ὅς, εὐφήμει ἔφη ὦ ἄνθρωπε. ἀσμενέστατα μέντοι αὐτὰ ἀπέφυγον, ὥσπερ λυττῶντά τινα, καὶ ἄγριον δεσπότην ἀποδράς. μύθου δὲ, ὁποῖός ἐστι παρὰ Ἡροδότῳ τοῦ αὐλητοῦ, καὶ παρὰ Φιλίστῳ τοῦ ἵππου, καὶ παρὰ Ἑκαταίῳ τοῦ ἐν ἑκατέρῳ, ἐν τῇ πρώτῃ, καὶ ἐν τῇ δευτέρᾳ, καὶ ἐν τῇ εἰκοστῇ Θεοπόμπου τοῦ φιλιπ

πικῶν, ὁ τοῦ πολέμου καὶ τῆς ὕβρεως, ὃν ὁ Φίλιππος διεξέρχεται πρὸς τοὺς αὐτοκράτορας τῶν χαλκιδέων, καὶ Ξενοφῶντος ἐν τῷ δευτέρῳ τῶν ἀπομνημονευμάτων, ὁ τοῦ κυνὸς καὶ τῶν προβάτων. διηγήσεως δὲ παραδείγματα ἂν εἴη κάλλιστα τῶν μὲν μυθικῶν, ἡ Πλάτωνος ἐν τῷ δευτέρῳ τῆς πολιτείας, περὶ τοῦ δακτυλίου τοῦ γύγου. καὶ ἐν τῷ συμποσίῳ, περὶ τῆς γενέσεως τοῦ ἔρωτος. περὶ δὲ τῶν ἐν ᾅδου, ἐν τῷ φαίδωνι, καὶ τῷ δεκάτῳ τῆς πολιτείας, καὶ παρὰ Θεοπόμπῳ ἐν τῇ ὀγδόῃ τῶν φιλιππικῶν, ἡ τοῦ σελίνου. τῶν δὲ πραγματικῶν, ἡ περὶ κύλωνος παρ' Ἡροδότῳ καὶ Θουκυδίδῃ, καὶ περὶ ἀμφιλόχου τοῦ ἀμφιάρεω ἐν τῇ τρίτῃ Θουκυδίδου. καὶ τὰ περὶ κλεόβιν καὶ Βίτωνα, ἐκ τῆς πρώτης Ἡροδότου ἔχουσι δὲ καὶ περὶ δαιδάλου τῆς ἀφίξεως, πρὸς κώκαλον τὸν σικανῶν βασιλέα, Ἔφορος μὲν ἐν τῇ ζ, Φίλιστος δὲ ἐν τῇ πρώτῃ. εὕροις δ' ἂν καὶ ἐν τῷ περὶ τῆς παραπρεσβείας Δημοσθένους ἰσχνὸν καὶ γλαφυρὸν διήγημα, περὶ τῶν ἀγομένων ὀλυμπίων ὑπὸ φιλίππου, μετὰ ὀλύνθου ἅλωσιν. ἔχομεν δὲ καὶ ἀνασκευὰς καὶ κατασκευὰς παρὰ τοῖς παλαιοῖς, χρειῶν, καὶ γνωμῶν, καὶ ἀποφάσεων,

καὶ τοιούτων. καὶ δεῖ ἁρμόττειν ἐπὶ τοῦ τοῦ εἶδος, ὅσα λέγεται ὑπὸ τοῦ Ἐφόρου ἐν τῇ ἐνδεκάτῃ τῶν ἱστορικῶν, πρὸς τὰς ὑπὸ τῶν παλαιοτέρων περὶ τοῦ νείλου καταβεβλημένας ἀποφάσεις. διηγημάτων μὲν μυθικῶν, ἐν τῇ δευτέρᾳ Ἡροδότου, τούτων περὶ ὧν ἕλληνες μυθεύουσιν, ὡς αἰγύπτιοι μὲν τὸν ἡρακλέα ἐπιδημήσαντα, θύειν ἐπεχείρουν τῷ Διΐ, ὁ δὲ πολλὰς μυριάδας αὐτῶν κατεφόνευσε. καὶ παρὰ Ἐφόρῳ ἐν τῇ πρώτῃ, τὸ περὶ τῶν πεντήκοντα θεσπίου θυγατέρων, αἷς ἁπάσαις παρθένοις οὔσαις, φασὶν ἅμα μιγῆναι τὸν ἡρακλέα. καὶ περὶ τοῦ ἀριστοδήμου, ὡς ἐτελεύτησε κεραυνόβλητος γενόμενος. τῶν δὲ πραγματικῶν διηγήσεων, ἔστι μὲν τινὰ καὶ παρὰ Ἡροδότου λαβεῖν, ὡς τὰ ἐκ τῆς τετάρτης, τοῦ διαιρεῖσθαι τὴν ὅλην γῆν εἰς τρία μέρη, καὶ καλεῖσθαι τὸ μὲν εὐρώπην, τὸ δὲ λιβύην, τὸ δὲ ἀσίαν. καὶ παρὰ Θουκυδίδου ἐκ τῆς πρώτης, τὰ περὶ τῆς ἀναιρέσεως ἱππάρχου ὑπὸ τῶν περὶ ἁρμόδιον καὶ ἀριστογείτονα. πλείω δὲ ἔχομεν καὶ παρ' ἄλλων ἱστορικῶν λαβεῖν. παρὰ μὲν Ἐφόρου, ἐκ τῆς πρώτης τὰ περὶ τὴν διαίρεσιν τῆς πελοποννήσου, κατὰ τὴν ἡρακλειδῶν κάθοδον, παρὰ δὲ Θεοπόμπου, ἐκ τῆς πέμπτης

καὶ

καὶ εἰκοστῆς τῶν φιλιππικῶν, ὅτι ἑλληνικὸς ὅρκος καταψεύδεται, ὃν ἀθηναῖοί φασιν ὀμόσαι τοὺς ἕλληνας πρὸ τῆς μάχης τῆς ἐν πλαταιαῖς πρὸς τοὺς βαρβάρους. καὶ αἱ πρὸς βασιλέα δαρεῖον ἀθηναίων, καὶ πρὸς ἕλληνας συνθῆκαι. ἔτι δὲ καὶ τὴν ἐν μαραθῶνι μάχην, οὐχ ἅμα πάντων ὑμνοῦσι γεγενημένην, καὶ ὅσα ἄλλα φησὶν ἡ ἀθηναίων πόλις ἀλαζονεύεται, καὶ παρακρούεται τοὺς ἕλληνας. ὁμοίως καὶ τὸν καλούμενον τόπον, πολλὰ τοῖς παλαιοῖς ἔστιν εὑρεῖν, καθάπερ τὸ Δημοσθενικὸν ἐν τῷ ὑπὲρ στεφάνου. παρὰ γὰρ τοῖς ἕλλησιν, οὐ τισὶν, ἀλλὰ πᾶσιν ὁμοίως φορὰν προδοτῶν, καὶ δωροδόκων, καὶ θεοῖς ἐχθρῶν ἀνθρώπων συνέβη γενέσθαι τοσαύτην καὶ τὰ ἑξῆς. ἔτι δὲ καὶ Λυκούργου κατὰ μόσχου, ἐν τῷ κατὰ λυκόφρονος. καὶ Ὑπερίδου † κατὰ τῶν ἑταίρων ἐν τῇ κατὰ ἀρισταγόρου. ὁμοίως καὶ τοὺς ἄλλους ἐν τῷ περὶ τόπων ἐκθησόμεθα. πολλαὶ δὲ καὶ ἐκφράσεις παρὰ τοῖς παλαιοῖς. ὥσπερ καὶ παρὰ Θουκυδίδῃ ἐν τῇ δευτέρᾳ, ὁ λοιμός. καὶ ἐν τῇ τρίτῃ, ὁ περιτειχισμὸς τῶν πλαταιέων, καὶ ἄλλοθι ναυμαχία, καὶ ἱππομαχία. καὶ παρὰ Πλάτωνι, ἐν τῷ τιμαίῳ, ὡς τὰ περὶ τὴν σαΐν. καὶ παρὰ Ἡροδότῳ ἐν τῇ δευτέρᾳ, τὰ ἑπτὰ τείχη, τὰ ἐν ἐκβατάνοις, ἔχομεν δὲ καὶ ἐν τῇ

† κατὰ τῶν ἑταίρων, καὶ ἐν τῷ

ἐν τῇ

ἐν τῇ ἐννάτῃ τῶν Φιλιππικῶν Θεοπόμπου, τὰ
ἐν Θετταλίᾳ τέμπη. ἅ ἐστι μὲν μεταξὺ δύο ὀ-
ρῶν μεγάλων, τῆς τε ὄσσης καὶ τοῦ ὀλύμπου, ῥεῖ
δὲ διὰ αὐτῶν μέσος ὁ πηνειός, εἰς ὃν ἅπαντες
οἱ κατὰ τὴν Θετταλίαν ποταμοὶ συῤῥέουσι. καὶ
παρὰ Φιλίστῳ ἐν μὲν τῇ ὀγδόῃ, τὰ περὶ τὴν πα-
ρασκευὴν τὴν ἐπὶ καρχηδονίους διονυσίου τοῦ τυ
ράννου, καὶ τῶν ὅπλων, καὶ τῶν νεῶν, καὶ τῶν ὀργά
νων τὴν ποίησιν. ἐν δὲ τῇ ια´, τὰ περὶ τὴν ἐκφο
ρὰν αὐτοῦ, καὶ τῆς πυρᾶς τὴν ποικιλίαν. προ-
σωποποιίας δὲ, τί ἂν εἴη παράδειγμα κάλ-
λιον τῆς Ὁμήρου ποιήσεως, καὶ τῶν Πλάτωνος,
καὶ τῶν ἄλλων τῶν σωκρατικῶν διαλόγων, καὶ
τῶν Μενάνδρου δραμάτων. ἔχομεν δὲ καὶ Ἰσο-
κράτους μὲν τὰ ἐγκώμια. Πλάτωνος δέ, καὶ Θου
κυδίδου, καὶ Ὑπερίδου, καὶ Λυσίου, τοὺς ἐπιτα-
φίους. καὶ Θεοπόμπου, τὸ Φιλίππου ἐγκώμιον,
καὶ ἀλεξάνδρου. καὶ Ξενοφῶντος τὸν ἀγησίλαον.
εἰσὶ δὲ καὶ συγκρίσεις παρὰ τοῖς παλαιοῖς, παρά τε
Δημοσθένει ἐν τῷ πρὸς λεπτίνην, ὁπότε βούλε-
ται προκρίνειν κόνωνα θεμιστοκλέους. εὕροις δ᾽ ἂν
καὶ παρὰ Ξενοφῶντι ἐν τῷ συμποσίῳ, σωκράτη
καλλίᾳ μαρτυροῦντα, ὡς πολὺ κρείττων ἐστὶν ὁ
τῆς ψυχῆς ἢ τοῦ σώματος ἔρως. παραδείγ-
ματα δὲ τῆς τῶν θέσεων γυμνασίας λαβεῖν ἐστι,

παρά τε Ἀριστοτέλους καὶ Θεοφράστου. πολλὰ γάρ ἐστιν αὐτῶν βιβλία θέσεων ἐπιγραφόμενα. ἤδη δέ τινα καὶ παρὰ ῥήτορσιν εἴρηται θετικὰ κεφάλαια. καὶ δὴ καὶ ὅλοι λόγοι, νομίζοιντ' ἂν σχεδὸν εἶναι θέσεως. ὥς ὅ, τε περὶ τῶν ἀνακαλυπτηρίων ἐπιγραφόμενος Λυσίου, καὶ ὁ περὶ τῆς ἀμβλώσεως. ἐν μὲν γὰρ θατέρῳ ζητεῖται, εἰ τὰ δοθέντα ἀνακαλυπτήρια γυναικὶ γαμουμένῃ βιαίως, ἔχειν αὐτὴν δεῖ. ἐν θατέρῳ δὲ, εἰ τὸ ἔτι ἐγκυούμενον ἄνθρωπός ἐστι. καὶ εἰ ἀνεύθυνα τὰ τῆς ἀμβλώσεως ταῖς γυναιξί. Λυσίου μὲν, οὔ φασιν εἶναι τούτους τοὺς λόγους. ὅμως δὲ οὐκ ἄχαριστον τοῖς νέοις, γυμνασίας ἕνεκα, καὶ τούτοις ἐντυγχάνειν. ἔστι δὲ καὶ ἐν ἑκάστῳ λόγῳ εὑρεῖν θετικὸν κεφάλαιον, οἷον ἐν τῷ Δημοσθένους κατὰ ὀνήτορος ἐξούλης, εἰ ἀληθεῖς αἱ βάσανοι. καὶ ἐν τῷ παρὰ αἰσχίνῃ κατὰ τιμάρχου, εἰ ἀληθεῖς αἱ φῆμαι, καὶ ἄλλα ἀλλαχόθεν. εὑπορήσομεν δὲ καὶ νόμων ἀνασκευῆς, πολλαχοῦ μὲν παρὰ πλείστοις τῶν ῥητόρων. ἐντελέστατα δὲ παρὰ Δημοσθένει, ἔν τε τῷ κατὰ τιμοκράτους καὶ ἀριστοκράτους, καὶ πρὸς λεπτίνην. κατασκευὴν δὲ, παρά τε ἄλλοις, καὶ παρὰ Λυσίᾳ, ἐν τῷ πρὸς διοκλέα ὑπὲρ τοῦ κατὰ τῶν ῥητόρων νόμου. καὶ γὰρ εἰ μὴ

πάσαις

πᾶσαις κέχρηνται οἱ παλαιοὶ ταῖς ὑφ' ἡμῶν παραδεδομέναις ἀφορμαῖς, τῷ μὴ πρὸς γυμνασίαν, ἀλλὰ πρὸς ἀγῶνας τοὺς λόγους πεποιῆσθαι, ἀλλ' ὅμως τήν γε ὅλην διάθεσιν ἐμφαίνουσι τῶν τοιούτων λόγων. ὅτι δὲ οὐδὲ τῆς παραφράσεως ἠμέλουν οἱ παλαιοὶ, δῆλον ἐκ τῶν μικρὸν ἔμπροσθεν εἰρημένων. πολλὰ δέ ἐστι καὶ ἐξειργασμένα μᾶλλον, παρὰ τοῖς ἑτέροις αὐτῶν. τὸ γοῦν κυλώνειον ἄγος, μᾶλλον τοῦ Ἡροδότου καὶ Εὔφρονος ἐξείργασται Θουκυδίδῃ. καὶ Δημοσθένης δὲ μᾶλλον Ὑπερίδου τὴν γεγενημένην ἀθηναίοις ταραχὴν. ὅτε ἧκεν ἑσπέρας ἀγγέλλων τις ὡς τοὺς πρυτάνεις, ὡς ἡ ἐλάτεια κατείληπται. ἔστι δὲ καὶ ἱστορίας, καὶ ὅλους λόγους ἀλλήλοις ἀντιπαραβάλλειν, σκοποῦντα τὸ ἄμεινον ἐξειργασμένον. οἷον Δημοσθένους μὲν τῶν κατὰ ὑπερίδου, Θεοπόμπου δὲ, τὰς ἑλληνικὰς ἱστορίας, πρὸς τὰς Ξενοφῶντος. τὴν δὲ ἀντίρρησιν ἔστιν εὑρεῖν μάλιστα ἐν τοῖς λόγοις, ἐν οἷς ὁ μὲν κατηγορεῖ, ὁ δὲ ἀπολογεῖται περὶ τῶν κατηγορουμένων. οἷον ἐν τῷ Αἰσχίνου κατὰ κτησιφῶντος, καὶ Δημοσθένους ὑπὲρ τοῦ στεφάνου, καὶ ἔτι ἐν τῷ ἑκατέρου, περὶ τῆς παραπρεσβείας. εὕροις δ' ἂν καὶ ἐν ἱστορίαις παρὰ μὲν Θουκυδίδῃ, ἐν μὲν τῇ πρώτῃ, κορινθίων ἐστὶν ἀντιλογία πρὸς κερκυραίους. ἐν δὲ τῇ τρίτῃ,

διοδότου καὶ λέωνος. παρὰ δὲ Πλάτωνι, καὶ τὴν ἐξεργασίαν, καὶ τὴν ἀντίρρησιν, περὶ τῶν πραγμάτων ἔστιν ἰδεῖν. ἐν μὲν γε τῷ Φαίδρῳ, εἰς τὴν αὐτὴν ὑπόθεσιν τῷ Λυσίᾳ εἰπών, ἐξῆς ἀμφοτέροις τοῖς λόγοις ἀντιλέγει, τῷ τε αὐτοῦ καὶ τῷ Λυσίου. ἐν δὲ τῇ πολιτείᾳ, κατ' ἀρχὰς διὰ τῶν περὶ τὸν Γλαύκωνα καὶ Ἀδείμαντον συνηγορήσας τῷ Θρασυμάχῳ περὶ δικαιοσύνης, μετὰ ταῦτα εὐθὺς ἀπολογεῖται πρὸς πᾶσαν τὴν κατηγορίαν. ταῦτα μὲν οὖν παρεθέμην οὐ νομίζων μὲν, ἅπαντα εἶναι πᾶσιν ἀρχομένοις ἐπιτήδεια, ἀλλ' ἵνα ἡμεῖς εἰδῶμεν, ὅτι πάνυ ἐστὶν ἀναγκαῖον ἡ τῶν γυμνασμάτων ἄσκησις, οὐ μόνον τοῖς μέλλουσι ῥητορεύειν, ἀλλὰ καὶ εἴ τις ἢ ποιητῶν, ἢ λογοποιῶν, ἢ ἄλλων τινῶν λόγων δύναμιν ἐθέλει μεταχειρίζεσθαι. ἔστι γὰρ ταῦτα οἱονεὶ θεμέλια πάσης τῆς τῶν λόγων ἰδέας. καὶ ὡς ἂν αὐτά τις ὑπάγηται τῇ τῶν νέων ψυχῇ, ἀνάγκη τὸν αὐτὸν τρόπον καὶ τὰ μετὰ ταῦτα συμβαίνειν. διόπερ χρὴ πρὸς τοῖς εἰρημένοις, καὶ αὐτὸν τὸν διδάσκαλον, ἀνασκευάς τινας καὶ κατασκευὰς μάλιστα κάλλιστα ποιησάμενον, προστάξαι τοῖς νέοις ἀπαγγεῖλαι, ὅπως τυπωθέντες κατὰ τὴν ἐκείνων ἀγωγὴν μιμήσασθαι δυνηθῶσιν. ἐπειδὰν δὲ καὶ αὐτοὶ γράφειν ἱκα-

νοὶ

νοὶ γένωνται, ὑπαγορευτέον μὲν αὐτοῖς τὴν τάξιν τῶν κεφαλαίων, καὶ τῶν ἐπιχειρημάτων, σημαντέον δὲ καὶ τὸν καιρὸν τῆς παρεκβάσεως, καὶ τῆς αὐξήσεως, καὶ τῶν ἄλλων ἁπάντων. δηλον δὲ, ποιητέον καὶ τὸ ἦθος τοῦ προβλήματος, ἐπιμελητέον δὲ καὶ τῆς συνθέσεως τῶν ὀνομάτων, ταῦτα διδάσκοντα ἐξ ὧν διαφεύξονται τὸ κακῶς συντιθέναι, καὶ μάλιστα δὲ τὴν ἔμμετρον καὶ εὔρυθμον λέξιν, ὡς τὰ πολλὰ τῶν Ἡγησίου τοῦ ῥήτορος, καὶ τῶν ἀσιανῶν καλουμένων ῥητόρων, καί τινα τῶν ἐπικούρου, οἷά που καὶ πρὸς Ἰδομενέα γράφει· ὦ πάντα τἀμὰ κινήματα τερπνὰ νομίσας ἐκ νέου, καὶ τῶν περιφερομένων δι᾽ ὡς ἐκείνου. ἡμεῖς δ᾽ οὐδέ πω καὶ νῦν αὐτὰ εὑρίσκομεν ἐν τοῖς συγγράμμασιν αὐτοῦ· λέγε δή μοι πολύαινε. * συναπείρομεν, μεγάλη χαρὰ γένηται. τὰ οὖν τοιαῦτα καὶ τελέως δεῖν ἐπίμεμπτα, καὶ πρόδηλον ἔχει τὴν κακίαν τῆς συνθέσεως. συγγνώμης δ᾽ ἄξιον, ὅταν εἰς ἐκεῖνα τις ἐμπέσῃ ποτὲ τὰ μέτρα, ἅπερ ἔχει ὁμοιότητα πρὸς τὸ πεζὸν, οἷόν ἐστι τὸ ἰαμβικόν. διὸ καὶ πάντες οἱ συγγραφεῖς, ἄκοντες ἐμπίπτουσιν εἰς τὸ γένος τοῦτο. ὁ γοῦν Ἔφορος ἐν τῷ περὶ λέξεως δι᾽ αὐτοῦ τοῦ ἀπαγορεύοντος λόγου, μὴ τῷ εὐρύθμῳ χρῆσθαι διαλέκτῳ, εὐθὺς

ἐν ἀρχῇ στίχον εἴρηκεν εἰπών, πάλιν δὲ περὶ τοῦ εὐρύθμου διέξειμι. περιέχεσθαι δεῖ οὐδὲν ἧττον καὶ τῆς εὐπρεπείας, ὥστε μὴ ἐκ τοῦ εὐθέος γυμνῶσαι τὰ αἰσχρά. περιεσταλμένως δὲ ἀπαγγέλλειν, ὡς Αἰσχίνης εἰς ἀρρητοποιίαν τὴν Δημοσθένην διαβάλλων, φησὶν αὐτὸν μὴ καθαρεύειν τὸ στόμα, μὴ δ' ὅθεν τὴν φωνὴν προΐεται. πρὸς δὲ τούτοις, χρὴ τὴν ἑρμηνείαν καὶ σαφῆ, καὶ ἐναργῆ εἶναι. οὐ γὰρ ἀπαγγεῖλαι μόνον δεῖ, ἀλλὰ καὶ τὸν λόγον ἐνοικειῶσαι τῇ διανοίᾳ τῶν ἀκουόντων, ὥστε γίνεσθαι τὸ ὑπὸ Ὁμήρου λεγόμενον.
Ῥηΐδιόν τι ἔπος ἐρέω, καὶ ἐνὶ φρεσὶ θήσω.
ἡ δὲ διόρθωσίς ἐστιν, οὐκ ἀπ' ἀρχῆς πάντα τὰ ἁμαρτήματα περιαίρουσα, ἀλλ' ὀλίγα. καὶ μάλιστα τὰ πρόδηλα, ὅπως μὴ ἀθύμως ὁ νέος διατεθεὶς, δυσέλπιστος εἰς τὰ μετὰ ταῦτα γένηται. ἅμα δὲ ὁ διορθῶν ὑποδεικνύτω, παρ' ὅτι γέγονε τὸ ἁμάρτημα, καὶ πῶς ἐνδέχεται βέλτιον ποιῆσαι. πολὺ δ' ὠφελιμώτερον, καὶ τὸ προστάττειν τοῖς νέοις γράφειν, εἴς τινα προβλήματα τῶν ἤδη τοῖς παλαιοῖς ἐξειργασμένων. οἷον τόπον, ἢ διήγησιν, ἢ ἔκφρασιν, ἢ ἐγκώμιον, ἢ θέσιν, ἢ τι ἄλλο τῶν τοιούτων. μετὰ δὲ ταῦτα, ποιῆσαι τοῖς ἐκείνων αὐτοῖς ἐντυγχάνειν. ἵν' εἰ μὲν ὁμοίως εἶεν γεγραφότες, πεποιθῶ-

σιν. εἰ δὲ μή, ἀλλὰ διορθωτὰς ἔχοιεν αὐτοὺς τοὺς παλαιούς. ἐπεὶ δὲ οὐ πάντες πρὸς πάντα πεφύκαμεν, ἀλλ' οἱ μὲν τῶν παθῶν ἀπολείπονται, περὶ δὲ τὰ ἤθη μᾶλλον κατορθοῦσιν, οἱ δὲ ἀνάπαλιν, οἱ δ' ἀμφοῖν ὑστεροῦσι, τὰ δὲ ἐνθυμήματα ἄμεινον ἐργάζονται, πειρατέον τὰ μὲν φυσικὰ πλεονεκτήματα αὔξειν, τὰ δὲ ἐλλείποντα ταῖς αὐξήσεσιν ἀναπληροῦν, ἵνα δυνηθῶμεν μὴ μόνον τὰ μεγάλα προβλήματα καλῶς λέγειν, ὡς Αἰσχίνης, μὴ δὲ τὰ μικρὰ ὡς Λυσίας, ἀλλὰ καὶ πρὸς ἀμφότερα παρασκευὴν ἔχωμεν, ὡς Δημοσθένης. ἤδη πᾶσι δὲ καὶ τὴν προσήκουσαν ὑπόκρισιν, ἑκάστῃ τῶν λόγων ἰδέᾳ πειρατέον ἐκμανθάνειν.

ΠΕΡΙ ΜΥΘΟΥ.



ΥΘΟΣ ἐστὶ λόγος ψευδής, εἰκονίζων ἀλήθειαν. εἰδέναι χρή, ὅτι μὴ περὶ παντὸς μύθου τανῦν ἡ σκέψις ἐστίν, ἀλλ' οἷς μετὰ τὴν ἔκθεσιν ἐπιλέγομεν τὸν λόγον, ὅτου εἰκών ἐστιν. ἔσθ' ὅτε μέντοι τὸν λόγον εἰπόντες, ἐπεισφέρομεν τοὺς μύθους. καλοῦνται δὲ αἰσώπειοι, καὶ λιβυστικοί, ἢ συβαριτικοί τε καὶ φρύγιοι, καὶ κιλίκιοι, καὶ καρικοί. αἰγύπτιοι, καὶ

κύπριοι. τούτων δὲ πάντων, μία ἐστὶ πρὸς ἀλλήλους διαφορά, τὸ προσκείμενον αὐτῷ ἕκαστον ἴδιον γένος· οἷον, αἴσωπος εἶπεν, ἢ λίβυς ἀνὴρ, ἢ συβαρίτης, ἢ κυπρεία γυνὴ, καὶ τὸν αὐτὸν τρόπον ἐπὶ τῶν ἄλλων. ἐὰν δὲ μηδεμία ὑπάρχῃ προσθήκη σημαίνουσα τὸ γένος, κοινοτέρως τοὺς τοιούτους αἰσωπίους καλοῦμεν. οἱ δὲ λέγοντες τοὺς μὲν ἐπὶ τοῖς ἀλόγοις ζώοις συγκειμένους, τοιούσδε εἶναι, τοὺς δὲ ἐπ' ἀνθρώποις τοιούσδε, τοὺς μὲν ἀδυνάτους τοιούσδε, τοὺς δὲ δυνατῶς ἐχομένους τοιούσδε, εὐήθως μοι ὑπολαμβάνειν δοκοῦσιν. ἐν πᾶσι γὰρ τοῖς προειρημένοις εἰσὶν ἅπασαι αἱ ἰδέαι. αἰσώπειοι δὲ ὀνομάζονται ὡς ἐπίπαν, οὐχ ὅτι αἴσωπος πρῶτος εὑρετὴς τῶν μύθων ἐγένετο. (ὅμηρος γὰρ καὶ ἡσίοδος, καὶ ἀρχίλοχος, καὶ ἄλλοι τινὲς πρεσβύτεροι γεγονότες αὐτοῦ, φαίνονται ἐπιστάμενοι, καὶ δὴ καὶ κόννις, καὶ κίλιξ, καὶ θοῦρος ὁ συβαρίτης, καὶ κυβισσὸς ἐκ λιβύης, μνημονεύονται ὑπό τινων ὡς μυθοποιοί) ἀλλ' ὅτι αἴσωπος αὐτοῖς μᾶλλον κατακόρως καὶ δεξιῶς ἐχρήσατο· ὥσπερ ἀριστοφάνειόν τι μέτρον, καὶ σαπφικὸν, καὶ ἀλκαϊκὸν, καὶ ἄλλο ἀπ' ἄλλου λέγεται, οὐχ ὡς τούτων ποιητῶν μόνων, ἢ πρῶτον ἐξευρηκότων τὰ μέτρα, ἀλλ' ὅτι αὐτοῖς ἐπὶ τὸ πλεῖστον ἐχρήσαντο. προσαγορεύουσι

ῥοῦσι δὲ αὐτούς, τὸν μὲν παλαιὸν οἱ ποιηταὶ μᾶλλον αἴνους, οἱ δὲ μύθους. πλεονάζουσι δὲ μάλιστα οἱ καταλογάδην συγγεγραφότες, τὸ λόγους, ἀλλὰ μὴ μύθους καλεῖν, ὅθεν λέγουσι καὶ τὸν αἴσωπον λογοποιόν. Πλάτων δὲ ἐν διαλόγῳ περὶ ψυχῆς, πῆ μὲν μῦθον, πῆ δὲ λόγον ὀνομάζει. εἴρηται δὲ μῦθος, οἷον λόγος τις ὤν. ἐπεὶ καὶ μυθεῖσθαι, τὸ λέγειν ἐκάλουν οἱ παλαιοί. αἶνος δὲ, ὅτι καὶ παραίνεσίν τινα περιέχει· ἀναφέρεται γὰρ ὅλον τὸ πρᾶγμα εἰς χρησίμην ὑποθήκην. νῦν μέντοι καὶ τὰ αἰνίγματα, αἴνους τινὲς καλοῦσι· καὶ τοῦτο τὸ γύμνασμα. καὶ γὰρ ἀπαγγέλλομεν τὸν μῦθον, καὶ κλίνομεν, καὶ συμπλέκομεν αὐτὸν διηγήματι, καὶ ἐπεκτείνομεν, καὶ συστέλλομεν. ἔστι δὲ καὶ ἐπιλέγειν αὐτῷ τινὰ λόγον, καὶ αὖ λόγου τινὸς προτεθέντος, μῦθον ἐοικότα αὐτῷ συμπλάσασθαι. ἔτι δὲ πρὸς τούτοις ἀνασκευάζομεν, καὶ κατασκευάζομεν. τὴν μὲν ἀπαγγελίαν ἥτις ἐστι, καὶ ἐν τῷ περὶ τῆς χρείας, δεδηλώκαμεν. ἐν δὲ τοῖς μύθοις ἁπλουστέραν τὴν ἑρμηνείαν εἶναι δεῖ, καὶ προσφυῆ· καὶ ὡς δυνατὸν, ἀκατάσκευόν τε καὶ σαφῆ. διὸ καὶ προεκμανθάνειν δεῖ, ὅσους καὶ παρὰ τοῖς παλαιοῖς ἔστιν εὑρεῖν

οὕτως ἀπηγγελμένους. χρήσιμον δὲ καὶ τὸ, ὁλοκλήρου τινὸς εἰρημένου μύθου, ἐθισθῆναι τὸν μανθάνοντα χαριέντως ἐκ τῶν μύθων ἄρξασθαι. ὥσπερ Ἡσίοδος·

Ὧδ' ἴρηξ προσέειπεν ἀηδόνα ποικιλόδειρον.

ἐκ μὲν γὰρ τῶν ἐπενεχθέντων,

Ἄφρων δ' ὅς κ' ἐθέλῃ πρὸς κρείσσονας ἀντιφερίζειν.

δηλοῦται, ὅτι ἄρα ἤριζεν ἀηδὼν πρὸς ἱέρακα. κἄπειτα ἀγανακτήσας ὁ ἱέραξ, καὶ συναρπάσας αὐτὴν, οὕτω τάδε εἶπε. κλιτέον δὲ τοὺς μύθους καὶ τὴν χρείαν, εἴς γε τοὺς ἀριθμοὺς, καὶ τὰς πλαγίας πτώσεις. μάλιστα δὲ ἐμμελετητέον ταῖς αἰτιατικαῖς, ὅτι καὶ οἱ παλαιοὶ τοὺς πλείστους τῶν μύθων οὕτως ἀπήγγειλαν, καὶ μάλιστα ὀρθῶς, ὥς φησιν Ἀριστοτέλης. οὐ γὰρ ἐκ τοῦ αὐτοῦ προσώπου λέγουσιν, ἀλλ' ἐπὶ τὸ ἀρχαῖον ἀναφέρουσιν, ἵνα παραμυθήσονται τὸ δοκεῖν ἀδύνατα λέγειν. οὐκ ἀεὶ δὲ χρὴ καθάπερ ἠναγκασμένῳ τινὶ ἕπεσθαι νόμῳ τῇ τῆς προκειμένης πτώσεως ἀκολουθίᾳ, ἀλλ' ἔνια προσακτέον καὶ μικτῷ τρόπῳ χρῆσθαι, ὡς προκεῖσθαι μὲν ἄλλην τινὰ πτῶσιν, μεταβεβηκέναι δὲ ἐν τοῖς ἑξῆς εἰς ἑτέραν. ἐπιτερπέστερον γὰρ τοῦτο τὸ, καὶ ποικίλον. ὁποῖός ἐστι καὶ παρὰ τῷ σωκρατικῷ φαίδωνι μῦθος, ἐν τῷ ζωπύρῳ· τὴν μὲν γὰρ ἀρχὴν ἀπὸ

τῆς

διὰ αἰτιατικῆς ἔχει. φασὶ τοίνυν ὦ Σώκρατες, τὸν νεώτατον βασιλέως υἱὸν χαρίσασθαί τινα λέοντος σκύμνον. μικρὸν δὲ ὑποβὰς, μετέβαλεν εἰς τὴν εὐθεῖαν οὕτω. καί μοι δοκεῖ ὁ λέων, σύντροφος ὢν τῷ παιδὶ νεανίσκῳ ἤδη ὄντι, ἀκολουθεῖν ὅποι βαδίζοι. ὥστε οἵ γε Πέρσαι, ἐρᾶν ἔφασαν τοῦ παιδὸς αὐτόν. καὶ τὰ ἑξῆς. συμπλέκομεν δὲ ὧδε ἐκθέμενοι τὸν μῦθον, ἐπιφέρομεν διήγημα ὡς ἔοικεν, ἢ ἀνάπαλιν. τὸ μὲν διήγημα πρότερον, ὕστερον δὲ τὸν μῦθον, οἷον πεπλασμένον. οἷον κάμηλος ἐπιθυμήσασα κεράτων, καὶ τῶν ὤτων ἐστερήθη. ταῦτα προειπόντες, ἐποιήσομεν τὸ διήγημα τοῦτον τὸν τρόπον. παραπλήσιόν μοι δοκεῖ τι παθεῖν τῇ καμήλῳ ταύτῃ, καὶ Κροῖσος ὁ Λυδός. καὶ ὅλον ἐφεξῆς τὸ διήγημα τὸ περὶ αὐτόν. ἐπεκτείνομεν δὲ, τὰς ἐν τῷ μύθῳ προσωποποιΐας μηκύνοντες, καὶ ποταμὸν, ἤ τι τῶν τοιούτων ἐκφράζοντες. τὸ ἐναντίον δὲ ποιοῦντες, συστέλλομεν. ἐπιλέγειν δὲ, ὧδε. ὅταν μύθου ῥηθέντος, ἐοικότα τινὰ γνωμικὸν αὐτῷ λόγον ἐπιχειρῶμεν κομίζειν. οἷον, κύων παρὰ ποταμόν τινα φέρων κρέας, καὶ κατὰ τοῦ ὕδατος τὴν αὐτοῦ σκιὰν θεασάμενος, οἰηθεὶς ἕτερον εἶναι κύνα μεῖζον κρέας ἔχοντα, ὃ μὲν εἶχεν ἀπέβαλεν. ἁλόμενος δὲ εἰς τὸν πο-

ποταμὸν ὡς ἁρπάσων, ὑποβρύχιος ἐγένετο.

Τὸν λόγον δὲ οὕτως ἐποισόμεθα· ὅτι ἄρα οἱ τῶν μειζόνων πολλάκις ὀρεγόμενοι, καὶ ἑαυτοὺς πρὸς αὐτοῖς ὑπάρχουσιν ἀπολλύουσιν. γένοιντο δ' ἂν καὶ ἑνὸς μύθου πλείονες ἐπίλογοι, ἐξ ἑκάστου τῶν ἐν τῷ μύθῳ πραγμάτων, τὰς ἀφορμὰς ἡμῶν λαμβανόντων. καὶ ἀνάπαλιν, ἑνὸς τοῦ λόγου πάμπολλοι μῦθοι, ἀπεικασμένοι αὐτῷ. τὴν γὰρ τοῦ λόγου δύναμιν ἁπλῶς προτείναντες, προστάξομεν τοῖς νέοις μῦθόν τινα πλάσαι, τῷ προτεθέντι πράγματι οἰκεῖον. προχείρως δὲ τοῦτο ποιεῖν δυνήσονται, πολλῶν ἐμπλησθέντες μύθων· τοὺς μὲν ἐκ τῶν παλαιῶν συγγραμμάτων ἀνειληφότες, τοὺς δὲ καὶ αὐτοὶ μόνον ἀκούσαντες, τοὺς δὲ καὶ παρ' αὐτῶν ἀναπλάσαντες. ἀνασκευάσομεν δὲ, καὶ κατασκευάσομεν, τοῦτον τὸν τρόπον. ἐπεὶ γὰρ καὶ αὐτὸς ὁ μυθοποιὸς ὁμολογεῖ ψευδῆ καὶ ἀδύνατα συγγράφειν, πιθανὰ δὲ καὶ ὠφέλιμα, ἀνασκευαστέον μὲν δεικνῦντας, ὅτι ἀπίθανα καὶ ἀσύμφορα λέγει. κατασκευαστέον δὲ ἐκ τῶν ἐναντίων. ταῦτα γάρ ἐστι τὰ ἀνώτατα κεφάλαια, εἰς ἃ τὰ κατὰ μέρος ἐμπίπτει. τὸ μὲν οὖν προοίμιον, πρόσφορον εἶναι δεῖ τῷ μύθῳ. μετὰ δὲ τὸ προοίμιον ἐκθέσθαι δεῖ τὸν μῦθον. ἐνίοτε δὲ καὶ παρατίθεσθαι,

ὅπερ ἐν ὑποθέσει, οὐκ ἀναγκαῖον ἀεὶ διηγεῖσθαι. ἔπειτα δὲ μεταβαίνειν ἐπὶ τὴν ἐπιχείρησιν, καὶ ἀνασκευάζειν τῶν εἰρημένων ἕκαστον ἐν μέρει, ἀπὸ τῶν πρώτων ἀρξαμένους, καὶ πρὸς ἕκαστον μέρος τοῦ μύθου, ἐφ' ἑκάστου τόπου λόγων εὐπορεῖν πειρωμένους· ληπτέον δὲ τὰ ἐπιχειρήματα, ἐκ τόπων τῶνδε· ἐκ τοῦ ἀσαφοῦς, ἐκ τοῦ ἀπιθάνου, ἐκ τοῦ ἀπρεποῦς, ἐκ τοῦ ἐλλιποῦς, ἐκ τοῦ πλεονάζοντος, ἐκ τοῦ ἀσυνήθους, ἐκ τοῦ μαχομένου, ἐκ τῆς τάξεως, ἐκ τοῦ ἀσυμφόρου, ἐκ τοῦ ἀνομοίου, ἐκ τοῦ ψευδοῦς. ἀσάφεια μὲν οὖν γίνεται ἤτοι δι' ἓν ὄνομα, ἢ καὶ πλείονα. δι' ἓν μὲν, ὅταν τις ὀνόμασι χρήσηται, ἢ παρὰ τὰ εἰωθότα, ἢ ὁμωνύμως. διὰ πλείω δὲ, ὅταν δυνατὸν ᾖ, μηδενὸς μήτε προστιθεμένου, μήτε ἀφαιροῦντος, πολλαχῶς ἐκδέχεσθαι τὸ εἰρημένον· οἷον, ἐγώ σ' ἔθηκα δοῦλον ὄντα ἐλεύθερον. οὐ γὰρ σαφὲς, πότερον ἐλεύθερον ἔθηκεν ἀντὶ δούλου, ἢ δοῦλον ἀντ' ἐλευθέρου. ἀκριβέστερον δὲ μικρὸν ὕστερον περὶ τῆς σαφηνείας, ἐν τοῖς περὶ διηγήματος ῥηθήσεται. τὸ δὲ ἀπίθανόν ἐστι, τὸ δυνατὸν μὲν γενέσθαι, ἢ ἐλελέχθαι, ἀπιστούμενον δὲ εἰ γέγονεν, ἢ εἴρηται· ἤτοι διὰ πρόσωπον ἐφ' ᾧ ἡ πρᾶξις, ἢ ὁ λόγος ἀναφέρεται· ἢ διὰ τὸν τόπον ἐν ᾧ λέγεται γενέσθαι τι ἢ εἰρῆσθαι.

ἢ διὰ

ἢ διὰ τὸν χρόνον καθ' ὃν λέγεταί τι γενέσθαι, ἢ λελέχθαι. ἢ διὰ τὸν τρόπον τῆς πράξεως, ἢ τοῦ λόγου. ἢ διὰ τὴν αἰτίαν τῶν αὐτῶν τούτων. λεγόντων ἡμῶν, ὅτι οὐκ εἰκός ἐστι τῷ τοιούτῳ τὸ δεῖ τι πρᾶξαι, ἢ τὸ δεῖ τι εἰπεῖν, ἐν τούτῳ τῷ τόπῳ, ἢ κατὰ τοῦτον τὸν τόπον, ἢ χρόνον, ἢ τοῦτον τὸν τρόπον, ἢ διὰ ταύτην τὴν αἰτίαν. ὁ αὐτὸς δὲ λόγος ἐστὶ καὶ περὶ τοῦ ἀπρεποῦς. τὸ ἐλλιπὲς, τὸ πλεονάζον ἐστὶν, ὅταν τι τῶν ῥηθήσεσθαι δυναμένων παραλίπῃ, ἢ εἴπῃ τι μηδὲν ὄν. οἷον, ἢ πρόσωπον, ἢ πρᾶγμα, ἢ χρόνον, ἢ τρόπον, ἢ τόπον, ἢ αἰτίαν, ἤ τι τῶν τοιούτων. τὸ δὲ ἀσυνήθες ἐστι, τὸ παρὰ τὴν πεπιστευμένην ἱστορίαν, ἢ τὸ παρὰ τὰς κοινὰς ὑπολήψεις λεγόμενον. οἷον, εἴ τις τοὺς ἀνθρώπους μὴ πεπλάσθαι εἴποι ὑπὸ τοῦ προμηθέως, ἀλλ' ὑπ' ἄλλου τινὸς τῶν θεῶν. ἢ τὸν ὄνον φρόνιμον εἴποι, ἢ ἀνόητον τὴν ἀλώπεκα. ὁ δὲ ἐκ τοῦ μαχομένου τόπος, τοιοῦτός ἐστιν, ὅταν δείξωμεν αὐτὸν ἑαυτῷ μαχόμενον τὸν μυθογράφον. τούτῳ δὲ χρηστέον, οὐκ ἐν ἀρχῇ, ἀλλ' ὅταν τι τῶν μέσων ἢ τελευταίων ἀνασκευάζωμεν, ἔπειτα καὶ ἐναντίον αὐτοῦ δεικνύωμεν τοῖς προειρημένοις. ἀπό γε μὴν τῆς τάξεως ἐπιχειρήσομεν, ἐλέγχοντες ἃ μὴ ἔδει πρῶτον ἐν τῷ μύθῳ ῥηθῆναι, οὐκ ἐν πρώτοις ἀπηγγελμένα.

γελμένα. ἃ δὲ ἴδια τελευτῆς, ἀλλαχοῦ προκείμενα. καὶ ὅλως ἕκαστον ὡς ἂν δυναίμεθα, οὐ κατὰ τὴν προσήκουσαν τάξιν εἰρημένον. καὶ μὴν καὶ ὁ ἐκ τοῦ ἀσυμφόρου τόπος, σαφής ἐστιν, ᾧ καὶ μᾶλλον χρησόμεθα εἰς ἀνασκευὴν τοῦ ὑπὲρ λόγου. οἱ δὲ ἐκ τοῦ ἀνομοίου, καὶ τοῦ ψεύδους, μόνον εἰσὶ τοῦ ὑπὲρ λόγου ἀνασκευαστικοί. ἐκ μὲν οὖν τοῦ ἀνομοίου, ἐπειδὰν τὰ ἐν τῷ μύθῳ κατὰ μηδὲν, ἢ μὴ παντὶ τῷ ὑπὲρ λόγῳ προσεοικότα ὑπάρχῃ, ἐκ δὲ τοῦ ψεύδους, ὅταν μὴ κατὰ πᾶν συμβαίνῃ, ὥς φησιν ὁ μυθογράφος. ὅτι οἱ τῶν πλειόνων ὀρεγόμενοι, καὶ τῶν ὄντων στερίσκονται. οὐ γὰρ ἀεὶ τοῦτο ἀληθές ἐστιν. ἐκ δὲ τῶν ἐναντίων τόπων κατασκευάσομεν. ἀνακεφαλαιοῦσθαι δὲ χρὴ, ὅταν πολλαὶ καὶ ἰσχυραὶ ὦσιν ἀνασκευαὶ καὶ κατασκευαὶ, ἐπεὶ ὅταν ὀλίγαι καὶ ἀσθενεῖς, οὐ παραληπτέον τὴν ἀνακεφαλαίωσιν. χρησόμεθα δὲ ἐνταῦθα καὶ τὸ διασύρειν αὐξήσεσιν, ἢ μειώσεσιν, καὶ παρεκβάσει, καὶ ἤθεσι, καὶ ἁπλῶς πάσαις ταῖς ἰδέαις τῶν λόγων. καθάπερ γὰρ εἴπομεν, σμικρὸν διαλλάττει τὸ γύμνασμα τοῦτο, δικανικῆς ὑποθέσεως. οἱ δ' αὐτοὶ τόποι, χρήσιμοι καὶ πρὸς τὴν τῶν διηγημάτων ἀνασκευήν τε καὶ κατασκευήν.

ΠΕΡΙ

ΠΕΡΙ ΔΙΗΓΗΜΑΤΟΣ.



ΙΗΓΗΜΑ ἐστι, λόγος ἐκθετικὸς πραγμάτων γεγονότων, ἢ ὡς γεγονότων. στοιχεῖα δὲ τῆς διηγήσεώς εἰσιν ἕξ. τό τε πρόσωπον, εἴτε ἓν εἴη, εἴτε πλείω. καὶ τὸ πρᾶγμα τὸ πραχθὲν ὑπὸ τοῦ προσώπου, καὶ ὁ τόπος ἐν ᾧ ἡ πρᾶξις, καὶ ὁ χρόνος καθ᾽ ὃν ἡ πρᾶξις, καὶ ὁ τρόπος τῆς πράξεως· καὶ ἕκτον, ἡ τούτων αἰτία. τούτων δὲ ὄντων τῶν ἀνωτάτω στοιχείων, ἐξ ὧν συμπληροῦται ἡ τελεία διήγησις, ἐξ ἁπάντων αὐτῶν καὶ τῶν συνεδρευόντων αὐτοῖς συνέστηκεν. ἐλλιπὴς δέ ἐστιν, ἡ ἑνὸς τούτων ἐπιδέουσα. παρακολουθεῖ δὲ τῷ μὲν προσώπῳ, γένος, φύσις, ἀγωγή, διάθεσις, ἡλικία, τύχη, προαίρεσις, πρᾶξις, λόγος, θάνατος, τὰ μετὰ θάνατον. τῷ δὲ πράγματι, μέγα ἢ σμικρόν, κινδυνῶδες ἢ ἀκίνδυνον, δυνατὸν ἢ ἀδύνατον, ῥᾴδιον ἢ δυσχερές, ἀναγκαῖον ἢ οὐκ ἀναγκαῖον, συμφέρον ἢ ἀσύμφορον, δίκαιον ἢ ἄδικον, ἔνδοξον ἢ ἄδοξον. τῷ δὲ χρόνῳ παρέπεται, τὸ παρεληλυθός, τὸ ἐνεστός, τὸ μέλλον, τί πρῶτον, ἢ δεύτερον, καὶ τὰ ἑξῆς. ἢ τί τῷ καθ᾽ ἡμᾶς βίῳ πρέπει, τί τῷ παλαιῷ. ἔτι πᾶσιν αἱ προθεσμίαι,

μίαι, ἃς κατὰ κοινόν, ἢ κατ' ἰδίαν, ἄνθρωποι συντίθενται. ἔπειτα χειμῶνος ὄντος, ἢ ἔαρος, θέρους, ἢ μετοπώρου, νυκτὸς οὔσης, ἢ μεθ' ἡμέραν. ἐκκλησίας οὔσης ἐγένετο τὸ πρᾶγμα, ἢ πόμπης, ἢ ἑορτῆς· καὶ πότερον γάμων ὄντων, ἢ φίλων ἀποδοχῆς, ἢ πένθους, ἢ τοιαύτης βιωτικῆς περιστάσεως. περὶ δὲ τόπῳ παρακολουθεῖ μέγεθος, διάστημα, γειτνιῶσα πόλις, ἢ χώρα. ἱερὸς ἦν ὁ τόπος, ἢ βέβηλος· ἴδιος, ἢ ἀλλότριος. ἔρημος, ἢ οἰκούμενος· ὀχυρός, ἀσφαλής. πεδινός, ἢ ὀρεινός. ἄνυδρος, ἢ κάθυγρος. ψιλός, ἢ δενδρώδης, καὶ πάντα τὰ παραπλήσια. τῷ δὲ τρόπῳ, ἑκουσίως, ἢ ἀκουσίως. ἑκάτερον δὲ εἰς τρία διαιρεῖται· τὸ μὲν ἀκούσιον εἰς ἄγνοιαν, καὶ τύχην, καὶ ἀνάγκην· τὸ δὲ ἑκούσιον, πότερον βίᾳ γέγονεν, ἢ λάθρα, ἢ ἀπάτῃ. τῇ δὲ αἰτίᾳ τῶν πράξεων παρέπεται, πότερον ἕνεκεν ἀγαθῶν κτήσεως γέγονεν, ἢ χάριν κακοῦ ἀπαλλαγῆς· ἢ διὰ φιλίαν, ἢ διὰ γυναῖκα, ἢ τέκνων χάριν· ἢ διὰ τὰ πάθη, θυμόν, ἔρωτα, μῖσος, φθόνον, ἔλεον, μέθην, καὶ τὰ τούτοις ὅμοια. ἀρεταὶ δὲ διηγήσεως, τρεῖς· σαφήνεια, συντομία, πιθανότης. διὸ κάλλιστον μέν, εἰ δυνατὸν εἴη, ἁπάσας τὰς ἀρετὰς ἔχειν δεῖ τὴν διήγησιν. ἐὰν δὲ τοῦτο ἀμή-

χανον

χανον εἴη, τὸ μὴ ἐναντίαν εἶναί πως τὴν συντομίαν, τῇ τε σαφηνείᾳ, καὶ τῇ πιθανότητι, τοῦ κατεπείγοντος μᾶλλον στοχαστέον. οἷον, εἰ μὲν εἴη τὸ πρᾶγμα φύσει πολυσκελὲς, ἐπὶ τὴν σαφήνειαν ἰτέον, καὶ πιθανότητα. εἰ δὲ ἁπλοῦν, καὶ μὴ πολύπλοκον, ἐπὶ τὴν συντομίαν, καὶ τὴν πιθανότητα. δεῖ γὰρ ἔχεσθαι ἀεὶ τοῦ πιθανοῦ ἐν τῇ διηγήσει. τοῦτο γὰρ αὐτῇ μάλιστα ἴδιον ὑπάρχει. καὶ τούτου μὴ προσόντος αὐτῇ, ὅσον ἂν σαφὴς καὶ σύντομος ᾖ τοσούτῳ μᾶλλον ἀπιστοτέρα τοῖς ἀκούουσι καταφαίνεται. ἐὰν δὲ τὸ πρᾶγμα φύσει πιθανὸν ᾖ, χρηστέον ποῦ μὲν τῇ συντομίᾳ, ποῦ δὲ πλεῖστον τοῖς κατασκευάζουσι καὶ εἰς πιθανότητα ἄγουσι τὸ προκείμενον. ἔτι δὲ τὰ μὲν λυπήσοντα τοὺς ἀκουσομένους, συντομώματα διηγητέον. ὡς Ὅμηρος,

» Κεῖται πάτροκλος.

Τοῖς δὲ εὐφραίνουσιν ἐνδιατριπτέον. ὥσπερ ὁ αὐτὸς ποιητὴς, τοῖς φαίαξιν οὖσι φιλομύθοις, πεποίηκε τὸν ὀδυσσέα μετὰ πολλῆς ἀκριβείας καὶ σχολῆς τὰ καθ' ἑαυτὸν διηγούμενον. σαφὴς δὲ ἡ διήγησις γίνεται διχόθεν. ἐξ αὐτῶν τῶν ἀπαγγελλομένων πραγμάτων, καὶ ἐκ τῆς λέξεως τῆς ἀπαγγελίας, ἧς τὰ πράγματα. ἐκ μὲν οὖν τῶν πραγμάτων, ὅταν λεγόμενα τὰ πράγ-

ματα,

ματα, μὴ τὴν κοινὴν ἐκφεύγῃ διάνοιαν, οἷα τὰ ἐν τῇ διαλεκτικῇ, καὶ τὰ ἐν γεωμετρίᾳ. ἢ ὅταν μὴ πολλὰ ὁμοῦ διηγεῖταί τις, ἀλλὰ καθ' ἕκασον εἰς τέλος προάγῃ, ὅπερ ἐγκαλοῦσί τινες τῷ Θουκυδίδῃ. διελὼν γὰρ ἱσορίας, κατὰ τὰ θέρη, καὶ χειμῶνας, πολλάκις ἀναγκάζεται πρὶν τελεσθῆ τὸ ὅλον πρᾶγμα, μεταβαίνειν ἐφ' ἕτερόν τι γεγονὸς ὑπὸ τὸν αὐτὸν καιρόν. εἶτα τὸ ὑπόλοιπον τοῦ πράγματος, ἐφ' ἑτέρου χειμῶνος, ἢ θέρους πραχθὲν διηγεῖται. ἐνίοτε δὲ καὶ τρίτου καὶ τετάρτου καιροῦ ἐδεήθη, μέχρις ἂν εἰς τέλος προέλθῃ τοῦ πράγματος, ὅπερ ἐξ ἀρχῆς διηγεῖτο, ἀεὶ τὰ καθ' ἕκασον καιρὸν γινόμενα συλλαμβάνων τῇ πρώτῃ διηγήσει· ὥστε ἅμα μὲν ἀσαφῆ, ἅμα δὲ δυσμνημόνευτα γενέσθαι τὰ πράγματα. φυλακτέον δὲ καὶ τὸ μὴ συγχεῖν τοὺς χρόνους, καὶ τὴν τάξιν τῶν πραγμάτων. ἔτι τε καὶ τὸ δὶς τὰ αὐτὰ λέγειν. οὐδὲν γὰρ ἧττον τῶν ἄλλων, καὶ τοῦτο συγχεῖ τὴν διάνοιαν. παραιτητέον δὲ καὶ τὸ παρεκβάσεις ἐπεμβάλλεσθαι μεταξὺ διηγήσεως, μακράς. οὐ γὰρ ἁπλῶς χρὴ πᾶσαν παραιτεῖσθαι, καθάπερ ὁ Φίλισος· ἀναπαύει γὰρ τὴν διάνοιαν τῶν ἀκροατῶν, ἀλλὰ τὴν τηλικαύτην τὸ μῆκος, ἢ τις ἀπαλλοτριοῖ τὴν διάνοιαν τῶν

ἀκροωμένων, ὥστε δεῖσθαι πάλιν ὑπομνήσεως τῶν προειρημένων, ὡς Θεόπομπος ἐν ταῖς Φιλιππικαῖς. δύο γὰρ που, καὶ τρεῖς, καὶ πλείους ἱστορίας ὅλας κατὰ παρέκβασιν εὑρίσκομεν, ἐν αἷς οὐχ ὅπως Φιλίππου, ἀλλ' οὔτε μακεδόνος τινὸς ὄνομά ἐστιν. ἀσαφὴς δὲ γίνεται διήγησις, παρὰ τὴν ἔλλειψιν ὧν ἐχρῆν ἀναγκαίως μνήμην ποιήσασθαι, καὶ παρὰ τὴν τῶν ἀποκεκρυμμένων ἱστοριῶν ἀλληγορίαν. κατὰ δὲ τὴν λέξιν, φυλακτέον τῷ σαφηνίζοντι, τὰ ποιητικὰ ὀνόματα λέγειν, καὶ πεποιημένα, καὶ τροπικὰ καὶ ἀρχαῖα, καὶ ξένα, καὶ ὁμώνυμα. ποιητικὰ μὲν οὖν ἐστιν, ὅσα τινὸς ἐξηγήσεως δεῖται. οἷον, κρήγυον ἀντιφρείζειν μάρνασθαι, καὶ τὰ τοιαῦτα. πεποιημένα δέ, οἷον κέλαδος, κόναβος, κελαρύζει, καὶ τὰ τοιαῦτα. τροπικὰ δὲ
" οἷον, Τεῖχος τριτογενεῖ ξύλινον διδοῖ εὐρύο
" πα ζεύς. διὰ γὰρ τῆς τροπῆς ταύτης, ἐσήμαινεν ὁ πύθιος τοῖς ἀθηναίοις, ἐκλιπόντας τὴν πόλιν, εἰς τὰς ναῦς ἐμβῆναι, καὶ ταύταις οἷον τείχει χρήσασθαι. ἀρχαῖα δὲ τὰ πάλαι μὲν συνήθη, νῦν δὲ ἐκλελοιπότα, ὡς λέγει Δημοσθένης, ἐν τῷ κατὰ ἀριστοκράτους, περὶ τοῦ δρακ-
" κοντος νόμου τόδε. μηδ' ἀποινᾶν, μὴ χρήμα-
" τα πράττεσθαι. τὰ γὰρ χρήματα, ἄποινα ὠνό-
μαζον

μάζον οἱ παλαιοί. ξένα δὲ, τὰ ἑτέροις μὲν ἐπιχώρια, τοῖς δὲ ἄλλοις οὐ συνήθη, ὡς εἴ τις ἀγορὰν ὀνομάζοι τὸν λιμένα, καθάπερ θετταλοὶ, ἢ κένον, ἀντὶ τοῦ ἐρωμένου, ὡς κρῆτες. ὁμώνυμα δέ ἐστιν, ὧν φωνὴ μὲν, καὶ ὄνομα τὸ αὐτὸ, ἕτερον δὲ τὸ σημαινόμενον ὑπὸ τῆς φωνῆς· οἷον, παῖς. σημαίνει γὰρ καὶ τὸν υἱὸν, καὶ τὸν καθ' ἡλικίαν παῖδα, καὶ τὸν δοῦλον. ἀσαφῆ δὲ τὴν ἑρμηνείαν ποιεῖ καὶ ἡ λεγομένη ἀμφιβολία πρὸς τῶν διαλεκτικῶν, παρὰ τὴν κοινὴν τοῦ ἀδιαιρέτου τε, καὶ διῃρημένου· ὡς ἐν τῷ, αὐλητρὶς πεσοῦσα, δημοσία ἔστω. ἓν μὲν γὰρ τὸ ἐστι, τὸ ὑφ' ἓν καὶ ἀδιαίρετον, αὐλητρὶς ἔσω πεσοῦσα, δημοσία· ἕτερον δὲ τὸ διῃρημένον, αὐλητρὶς πᾶς οὖσα, ἔσω δημοσία. ἔτι δὲ, καὶ ὅταν ᾖ μόριον ἄδηλον ᾗ μετά τινος συντέτακται· οἷον, οὐκ ἐν ταύροις ὁ ἡρακλῆς μάχεται. σημαίνει γὰρ δύο· οὐχὶ κἀν ταύροις ὁ ἡρακλῆς μάχεται, καὶ οὐχὶ ταύροις ὁ ἡρακλῆς μάχεται. ὁμοίως δὲ ἀσαφὴς γίνεται φράσις, καὶ ὅταν ᾖ σημαῖνον μόριον ἄδηλον ᾗ, μετά τινος συντέτακται· οἷον, Οἱ δὲ καὶ ἀχνύμενοί περ ἐπ' αὐτῷ ἡδὺ γέλασσαν. ἀμφίβολον γὰρ, πότερον ἐπὶ τῷ θερσίτῃ ἀχνύμενοι, ὅπερ ἐστὶ ψεῦδος, ἢ ἐπὶ τῇ καθολκῇ τῶν νεῶν. καὶ πάλιν,

Δῆμον ἐρεχθῆος μεγαλήτορος, ὅν ποτ᾽ ἀθή-
» νη θρέψε διὸς θυγάτηρ. πότερον τὸν δῆμον,
ἢ τὸν ἐρεχθέα φησὶν ὑπὸ τῆς ἀθηνᾶς τραφῆναι,
καὶ τεκεῖν τὴν γῆν. παρὰ ταύτην δὲ τὴν ἀμ-
φιβολίαν, τὰ Ηρακλείτου τοῦ φιλοσόφου βιβλία
σκοτεινὰ γέγονε, κατακόρως αὐτῇ χρησαμένου,
ἤτοι ἐξεπίτηδες, ἢ καὶ διὰ ἄγνοιαν. παρατη-
ρητέον δὲ, καὶ τὸ μὴ ὑπερβατοῖς χρῆσθαι, οἷαι
εἰσὶ τὰ πολλὰ τῶν Θουκυδίδου. οὐ γὰρ καθόλου
τὸ τῶν ὑπερβατῶν γένος ἀποδοκιμάζομεν· ποι-
κίλη γὰρ διὰ τούτου, καὶ οὐκ ἰδιωτικὴ γίνεται ἡ
φράσις. μὴ δὲ μεταξυλογίαις, καὶ ταύταις διὰ
μακροῦ. τὰ γὰρ ἐγγὺς λαμβάνοντα τὴν ἀπόδο-
σιν, οὐ λυπεῖ τοὺς ἀκροατάς. καὶ μέν τοι καὶ τὸ
ἐλλείπειν τινὰ ὀνόματα, πρὸς τὴν σαφήνειαν
ἐναντίον ἐστί. παραφυλακτέον δὲ καὶ τὸ πα-
ραλλήλοις τιθέναι τὰς πτώσεις, ἐπὶ διαφόρων
προσώπων. ἀμφίβολον γὰρ γίνεται, τὸ ἐπὶ τίνα
φέρεσθαι· οἷον, ἐπὶ μὲν τῆς αἰτιατικῆς, ἐφ᾽ ἧς περ
καὶ μόνης τῶν πτώσεων, πολλοὶ γίνεσθαι τὴν ἀμ
φιβολίαν νομίζουσιν, ὡς παρὰ Δημοσθένει κα-
» τὰ μειδίου· ἴσασιν εὐαίωνα πολλοὶ τὸν λεωδά-
» μαντος ἀδελφὸν ἀποκτένοντα Βοιωτὸν ἐν
δείπνῳ. ἄδηλον γὰρ, πότερον εὐαίων ἀπέκ-
τεινε Βοιωτὸν, ἢ Βοιωτὸς εὐαίωνα, ὁπότερ᾽ ἐστὶ
ψεῦδος.

ψεύδος. ἀλλὰ καὶ ὁ λεωδάμαντος ἀδελφὸς, πότερον δικαίων ἐστὶν, ἢ βοιωτός. τοῦτο δὲ τῆς εὐθείας, ὡς παρ' Ηροδότῳ, ἐν τῇ πρώτῃ· εἰσὶ δὲ καὶ αἰγύπτιοι κόλχοι· ἄδηλον γὰρ, πότερον οἱ αἰγύπτιοι. τόδ' αὐτὸ καὶ ὧδε τῆς γενικῆς καὶ δοτικῆς. κολχῶν δὲ ὄντων αἰγυπτίων, καὶ κολχοῖς δὲ οὖσιν αἰγυπτίοις. ὧδε μὲν οὖν τῆς αἰτιατικῆς, ἀναμφισβήτητόν ἐστιν. ὧδε δὲ τῶν ἄλλων πτώσεων, φανερὸν, ὅτι προσθέσει ἄρθρων οὐκ ἔτι ἀμφίβολος γίνεται ἡ λέξις· εἰσὶ δὲ αἰγύπτιοι οἱ κολχοί. δῆλον γὰρ γέγονεν, ὅτι περὶ κολχῶν λέγει, ὡς εἰσὶν αἰγύπτιοι. ὁμοίως δ' ἔσται καὶ σύντομος ἡ διήγησις, ἐκ τῶν πραγμάτων καὶ τῆς λέξεως. ἔστι γὰρ ἡ συντομία, λόγος τὰ καιριώτατα τῶν πραγμάτων σημαίνων, μήτε προστιθεὶς τὸ μὴ ἀναγκαῖον, μήτε ἀφαιρῶν τὸ ἀναγκαῖον, κατὰ τὰ πράγματα καὶ τὴν λέξιν. ἐκ μὲν οὖν τῶν πραγμάτων, ὅταν μήτε συλλαμβάνωμεν ἅμα τὰ πολλὰ πράγματα, μήθ' ἑτέροις ἐπεμβάλλωμεν, παραλείπωμέν τε, ὅσα συνυπακούεσθαι δοκεῖ, μήτε πόῤῥωθεν ἀρχώμεθα, μήτε εἰς τὰ παρέλκοντα τὸν λόγον καταναλίσκωμεν, ὡς οἱ μετὰ τὰ πράγματα εἰωθότες διηγεῖσθαι. ταῦτα γὰρ ἂν ἴσως ἱστορίᾳ πρέποι, τό, τε μηκύνειν, καὶ τὸ

πόρρωθεν ἄρχεσθαι, καὶ ἐπεξεργάζεσθαί τινα τῶν παρέργων εἶναι δοκούντων. διήγησιν δὲ λέγων τις, πρὸς τὸ κεφάλαιον τοῦ ὅλου πράγματος, ὃ προὔθετο, ἀποβλέπειν ὀφείλει, τὰ εἰς τοῦτο συντελοῦντα μόνα ἐν τῇ διηγήσει παραλαμβάνων· οἷον, ὡς ἐπὶ τοῦ Κύλωνος. εἰ μὲν τις ἱστορίαν περὶ αὐτοῦ συγγράφει, προσήκει καὶ τίνων προγόνων ἦν, καὶ τίνος πατρός τε καὶ μητρός, καὶ ἄλλα πάμπολλα λέγειν. τό, τε ἀγώνισμα, ὃ ἠγωνίζετο ἐν ὀλυμπίᾳ, καὶ ὅσας νίκας ἀνείλετο, καὶ τὰς ὀλυμπιάδας ὀνομάζειν ἐφ' ὧν ἐνίκα. διήγημα δέ τις περὶ αὐτοῦ λέγων, οὐδὲν τῶν τοιούτων ἀκριβολογεῖσθαι δίκαιόν ἐστι, καθάπερ ἐποίησεν Ἡρόδοτός τε, καὶ Θουκυδίδης, ἑκάτερος τὸ κυλώνειον ἄγος εἰπεῖν προθέμενος. ἐν δὲ τοῖς κατὰ τὴν λέξιν παρατηρητέον, καὶ τὸ μήτε συνωνύμοις χρῆσθαι. τὰ γὰρ τὴν αὐτὴν ἔχοντα δύναμιν ὀνόματα, μακρότερον ποιεῖ τὸν λόγον, οὐδὲν δέον· ὡς παρὰ Δημοσθένει ἐν τῷ τῶν ὀλυνθιακῶν δευτέρῳ, δαιμονίᾳ τινὶ καὶ θείᾳ παντάπασιν ἔοικεν εὐεργεσίᾳ. μήτε λόγον ἀντὶ ὀνόματος ποιεῖν· οἷον, ἀντὶ τοῦ ἀπέθανεν, ἐξέλιπε τὸν βίον, καὶ ὅσα τούτοις ὅμοια. ἔτι δὲ καὶ τὰ συνυπακουόμενα πάντως συμπεριαιρετέον, τῷ

συντόμως ἀπαγγέλλειν βουλομένῳ. χρηστέον δὲ καὶ τοῖς ἁπλοῖς ὀνόμασι μᾶλλον, ἢ τοῖς συνθέτοις, καὶ τοῖς βραχυτέροις μᾶλλον, ἢ τοῖς μακροτέροις, ὅταν τὸ αὐτὸ σημαίνωσιν. εὐλαβητέον δὲ ὅμως, μὴ λάθῃ τις ἐπιθυμίᾳ συντομίας, εἰς ἰδιωτισμὸν ἢ ἀσάφειαν ἐκπεσών. ὑπέρ γε μὴν τοῦ πιθανὴν εἶναι τὴν διήγησιν, παραληπτέον λέξεις μὲν προσφυεῖς τοῖς τε προσώποις, καὶ τοῖς πράγμασι, καὶ τοῖς τόποις, καὶ τοῖς καιροῖς. πράγματα δὲ ὅσα εἰκότα ἐστὶ, καὶ ἀλλήλοις ἀκόλουθα. δεῖ δὲ καὶ τὰς αἰτίας βραχέως προστιθέναι τῇ διηγήσει, καὶ τὸ ἀπιστούμενον πιστῶς λέγειν, καὶ ἁπλῶς στοχάζεσθαι προσήκει τοῦ πρέποντος, περί τε προσώπῳ καὶ τοῖς ἄλλοις στοιχείοις τῆς διηγήσεως, κατά τε τὰ πράγματα, καὶ κατὰ τὴν λέξιν. παράδειγμα δὲ ἡμῖν ἔστω, τὸ ἐν ἀρχῇ τῆς δευτέρας τοῦ Θουκυδίδου, περὶ Πλαταιέων καὶ Θηβαίων διήγημα. εἰκὸς γὰρ ἦν τοὺς Θηβαίους ἀεὶ διαφόρους ὄντας τοῖς Πλαταιεῦσι, μαθόντας ὅτι ἔσοιτο πόλεμος, ἐθελῆσαι προκαταλαβεῖν τὴν Πλάταιαν ἔτι ἐν εἰρήνῃ. ταῦτα δὲ βουλευσαμένοις, ἐκ μὲν τοῦ φανεροῦ, μὴ ἐπιχειρεῖν, νυκτὶ δὲ ἀσελήνῳ ἐπιχειρῆσαι, καὶ πρὸς τούτοις ἔχειν τινὰς Πλαταιέων, οἳ καὶ ἀνοίξουσιν αὐτοῖς τὰς πύ-

ἐκ τῆς πέτρας ἑαυτήν· καὶ ἡ μὲν εἰς τὸ πλησίον ὄρος προελθοῦσα εἴπερθεν ἑαυτὴν ἐπεχείρησε. νύμφαι δὲ κατέσχον οἰκτείρασαι, καὶ πολὺν ὕπνον ἐνέβαλον, καὶ αὐτὴν ἤλλαξαν ἀπ' ἀνθρώπου εἰς δαίμονα, καὶ ὠνόμασαν Ἁμαδρυάδα νύμφην Βιβλίδα, καὶ ἐποιήσαντο συνδίαιτον ἑταιρίδα· καλεῖται δὲ καὶ τὸ ῥέος ἐκ τῆς πέτρας ἐκείνης ἄχρι νῦν παρὰ τοῖς ἐπιχωρίοις, δάκρυον Βιβλίδος.

Μεσσάπιοι. λα΄.

Ἱστορεῖ Νίκανδρος ἑτεροιουμένων β΄.

Λυκάονος τοῦ αὐτόχθονος ἐγένοντο παῖδες Ἰάπυξ καὶ Δαύνιος, καὶ Πευκέτιος· οὗτοι λαὸν ἀθροίσαντες, ἀφίκοντο τῆς Ἰταλίας παρὰ τὸν Ἀδρίαν· ἐξελάσαντες δὲ τοὺς ἐνταῦθοῖ οἰκοῦντας Αὔσονας, αὐτοὶ καθιδρύθησαν· ἦν δὲ τὸ πλέον αὐτοῖς τῆς στρατιᾶς ἔποικον, Ἰλλυριοί, Μεσσάπιοι· ἐπεὶ δὲ τὸν στρατὸν ἅμα καὶ τὴν γῆν ἐμέριζον τριχῆ, καὶ ὠνόμαζον ὡς ἑκάστοις ἡγεμόνος εἶχε, Δαυνίους καὶ Πευκετίους, καὶ Μεσσαπίους· τὸ μὲν ἀπὸ Τάραντος ἄχρι πρὸς τὴν ἐσχατιὰν τῆς Ἰταλίας, ἐγένετο Μεσσαπίων, ἐν ᾗ πόλις ᾤκηται Βρεντέσιον. τὸ δὲ παρὰ τὴν ἐντὸς τοῦ Τάραντος, ἐγένετο Πευκετίων· ἐνδοτέρω δὲ τούτου τῆς θαλάσσης ἐπίπλεον, Δαύνιοι· τὸ δὲ σύμπαν ἔθνος ὠνόμαζον Ἰαπήγων· καὶ ἐγένετο ταῦτα, πολὺ πρὸ τῆς Ἡρακλέους στρατείας· ἦν δὲ τοῖς τότε βίος ἀπὸ

θρεμμάτων

θρεμμάτων καὶ νομῆς· μυθολογοῦσιν οὖν ἐν τῇ Μεσσαπίων γῇ παρὰ τὰς λεγομένας ἱερὰς πέτρας, φανῆναι νύμφας ἐπιμηλίδας χορευούσας· τοὺς δὲ παῖδας τῶν Μεσσαπίων, καταλιπόντας τὰ ποίμνια καὶ θεωμένους, εἰπεῖν, ὅτι βέλτιον αὐτοὶ χορεύουσιν· οὗτος ὁ λόγος ἤλγυνε τὰς νύμφας, καὶ τὸ νεῖκος ἐπὶ πλέον ἐγένετο περὶ τῆς χορείας· οἱ δὲ παῖδες ὅτι μὲν ἦν αὐτοῖς ἅμιλλα πρὸς δαίμονας, ἠγνόουν· ἐχόρευον δ' οἷα πρὸς ὁμήλικας θνητὰς, καὶ ὁ τρόπος αὐτοῖς τῆς ὀρχήσεως ἅτε ποιμένων, ἄμουσος ἦν· ταῖς δὲ νύμφαις πᾶν ὅσον ἦ πλεῖστον ἐπεδίδωκεν εἰς κάλλος· καὶ ἐπεκράτησαν χορεύσαι τῶν παίδων, καὶ ἔλεγον πρὸς αὐτοὺς τάδε· ὦ κοῦροι, τὸ νεῖκος ἤρασθε πρὸς ἐπιμηλίδας νύμφας, οὐκ οὖν ὦ ἄφρονες νικώμενοι δώσετε δίκην· καὶ οἱ παῖδες ἵνα περ ἑστήκεσαν παρὰ τὸ ἱερὸν τῶν νυμφῶν, ἐγένοντο δένδρα· καὶ ἔτι νῦν ἀκούεται φωνὴ νυκτὸς ἐκ τῆς ὕλης οἷα θρηνούντων· ὁ δὲ τόπος ὀνομάζεται νυμφῶν τε καὶ παίδων.

Δρύοψ ἐγένετο Σπερχειοῦ παῖς τοῦ ποταμοῦ, καὶ Πολυδώρης μιᾶς τῶν Δαναοῦ θυγατέρων. οὗτος ἐβασίλευσε ἐν τῇ Οἴτῃ, καὶ θυγάτηρ αὐτῷ μονογενὴς ἐγένετο Δρυόπη, καὶ ἐποίμαινεν αὐτὴ τὰ πρόβατα τοῦ πατρός· ἐπεὶ δὲ

Δρυόπη, λβ΄.

Ἱστορεῖ Νίκανδρος ἑτεροιουμένων α΄.

Ὀδυσσεὺς ἦν παρὰ Καλυψοῖ, εἶτα ἀνέδραμε ἐπὶ τὴν ἀρχὴν μετά τινος οἰκονομίας γλαφυρᾶς. ἐποίει γὰρ τὸν Ὀδυσσέα τοῖς Φαίαξι τὰ καθ' ἑαυτὸν διηγούμενον, εἶτα συνάψας τὴν λοιπὴν διήγησιν, ἔληξεν εἰς τὰ τελευταῖα μέχρι τοὺς μνηστῆρας ἀπέκτεινεν ὁ Ὀδυσσεὺς, καὶ πρὸς τοὺς γονέας αὐτῶν φιλίαν ἐποιήσατο. καὶ Θουκυδίδης δὲ ἀπὸ τῶν περὶ Ἐπίδαμνον ἀρξάμενος, ἀνέδραμεν ἐπὶ τὴν πεντηκονταετίαν, ἔπειτα κατῆλθεν ἐπὶ τὸν Πελοποννησιακὸν πόλεμον. ἔξεστι δὲ καὶ ἀπὸ τῶν τελευταίων ἀρξάμενον, ἐλθεῖν ἐπὶ τὰ μέσα, καὶ οὕτως ἐπὶ τὴν ἀρχὴν καταντῆσαι· ὅπερ Ἡρόδοτος διὰ τῆς τρίτης ἡμᾶς διδάσκει, λέγων οὕτω· » πέμψας Καμβύσης εἰς Αἴγυπτον κήρυκα, » αἴτεε Ἄμασιν θυγατέρα, αἴτεε δὲ ἐκ συμβουλῆς » ἀνδρὸς Αἰγυπτίου, ὃς μεμφόμενος Ἄμασιν, ἔ- » πρηξε ταῦτα, ὅτι μιν ἀποσπάσας γυναικός τε » καὶ τέκνων, ἔκδοτον ἐποίησεν εἰς Πέρσας. εἶτα καὶ τὰ αἴτια διηγεῖται· ὅτι ὁ τῶν Περσῶν βασιλεὺς, ᾐτήκει παρὰ τοῦ Αἰγυπτίων βασιλέως ἰατρὸν ὀφθαλμῶν, ὃς εἴη ἄριστος. ἡ γὰρ κατὰ φύσιν ἦν τάξις τῆς διηγήσεως, πρῶτον μὲν τὴν ὀφθαλμίαν εἰπεῖν τοῦ Περσῶν βασιλέως, καὶ ὡς πέμψας εἰς Αἴγυπτον, ᾔτη-

σι παρὰ τοῦ βασιλεύοντος ἐκεῖ ἰατρὸν ὀφθαλμῶν. ὁ δὲ, τοῦτον ἀναπέμπει. ἔπειτα ὅτι χαλεπῶς φέρων ὁ ἰατρὸς, γυναικός τε καὶ παίδων ἀπολειφθεὶς, ἐμισήσατο τὸν ἐκδόντα, συμβουλεύσας τῷ Περσῶν βασιλεῖ, αἰτῆσαι θυγατέρα παρὰ τοῦ αἰγυπτίων βασιλέως, ἵνα ἢ δοὺς ἀνιῷτο, ἢ μὴ δοὺς ἀπέχθοιτο. ἔτι δὲ καὶ ἀπὸ τῶν μέσων ἀρξάμενον, ἐπὶ τὴν τελευτὴν ἐλθεῖν, εἶτα ἐν τούτοις λῆξαι. καὶ πάλιν ἀπὸ τῶν τελευταίων ἀρξάμενον, ἀναδραμεῖν ἐπὶ τὴν ἀρχὴν, καὶ λῆξαι εἰς τὰ μέσα. καὶ ἔτι ἀπὸ τῶν πρώτων ἀρξάμενον, μεταβῆναι ἐπὶ τὰ τελευταῖα, καὶ ἐν τοῖς μέσοις παύσασθαι. κατὰ μὲν οὖν τὴν ἀναστροφὴν τῆς τάξεως, οὕτως. ἐπεὶ δὲ εἰώθαμεν ἐκφέρειν τὰ πράγματα, ἐνίοτε μὲν ὡς ἀποφαινόμενοι, ἐνίοτε δὲ ὡς πλέον τι τοῦ ἀποφαίνεσθαι ποιοῦντες, καὶ ἐνίοτε μὲν ὡς ἐρωτῶντες, ἄλλοτε δὲ ὡς πυνθανόμενοι. ἔσθ' ὅτε δὲ, ὡς ἐπαποροῦντες, καὶ ἄλλοτε μὲν ὡς προστάττοντες, ἄλλοτε δ' ὡς εὐχόμενοι· καὶ ποτὲ μὲν ὡς ὀμνύοντες, ποτὲ δὲ ὡς ἀπαγορεύοντες, ἄλλοτε δὲ προστιθέμενοι, ποτὲ δὲ προσδιαλεγόμενοι. ἐνδέχεται γὰρ κατὰ πάντας τούτους τοὺς τρό-

πους εἰσφέρειν, ποικίλλοντας τὰς διηγήσεις. Θουκυδίδης μὲν οὖν ἐν ἀρχῇ τῆς δευτέρας τῶν ἱστοριῶν, κατὰ τὸν τοῦ ἀποφαινομένου τρόπον, ἐξήνεγκεν τὴν διήγησιν ταύτην· Θηβαίων ἄνδρες, ὀλίγῳ πλείους τριακοσίων, εἰσῆλθον περὶ πρῶτον ὕπνον σὺν ὅπλοις εἰς Πλάταιαν τῆς Βοιωτίας, οὖσαν Ἀθηναίων συμμαχίδα· καὶ τὰ ἑξῆς. ἡμεῖς δὲ εἰ βουλοίμεθα πλέον τι τοῦ ἀποφαίνεσθαι ποιεῖν, οὕτως ἐροῦμεν. μεγάλων ὡς ἔοικε πραγμάτων αἰτία γέγονεν Ἀθηναίοις, καὶ Λακεδαιμονίοις, καὶ τοῖς ἐξ ἑκατέρων συμμάχοις, Θηβαίων εἰς Πλάταιαν ἄφιξις· Θηβαίων γὰρ ἄνδρες, ὀλίγῳ πλείους τριακοσίων, εἰσῆλθον περὶ πρῶτον ὕπνον σὺν ὅπλοις εἰς Πλάταιαν τῆς Βοιωτίας· καὶ οὕτω τὰ λοιπὰ τῆς διηγήσεως συνάψομεν. εἰ δὲ ἐρωτᾶν βουλοίμεθα, οὕτως ἐροῦμεν· ἆρά γε ἀληθές ἐστιν, ὅτι Θηβαίων ἄνδρες ὀλίγῳ πλείους τριακοσίων, εἰσῆλθον περὶ πρῶτον ὕπνον σὺν ὅπλοις εἰς Πλάταιαν τῆς Βοιωτίας. καὶ οὕτως ἐρωτηματικῶς τὰ μετὰ ταῦτα διελευσόμεθα· οὕτω δ' αὖ πυθοίμεθα, τίνες ἦσαν οἱ Θηβαίων ἄνδρες, οἳ ὀλίγῳ πλείους ἦσαν τριακοσίων, εἰσῆλθόν τε περὶ πρῶτον ὕπνον σὺν ὅπλοις εἰς Πλάταιαν τῆς Βοιωτίας· καὶ τὰ λοιπὰ πυνθανόμε-

νοι ἐποίσομεν. τὸ δὲ ἐπαπορεῖν, καὶ τὸ ἐρωτᾶν, κατὰ μὲν τὴν προφορὰν, οὐδὲν ἀλλήλων διήνεγκε. διόπερ περὶ ἑτέρῳ αὐτῶν ἀρκεσθησόμεθα. ἐάν τε γὰρ ἐρωτῶμεν, ἐάν τε ἐπαπορῶμεν, οὕτως ἐξοίσομεν· Ἆρ' ἔστι πάντων ἀγρυπνία λαλίστατον. διαφέρειν δὲ δοκεῖ, ὅτι ὁ μὲν ἐρωτῶν, ἀπόκρισιν ἐπιζητεῖ· ὁ δὲ ἐπαπορῶν, οὐ πάντως, ἀλλὰ μόνον πρὸς ἑαυτὸν ἀπορεῖ. εἰ δὲ προστάττειν βουλοίμεθα, οὕτω ποιήσομεν. ὑποθησόμεθα γὰρ ἐν τοῖς τελευταίοις τῆς διηγήσεως, μετὰ τὴν τῶν εἰσελθόντων εἰς πλαταίας ἀναίρεσιν, ἵνα τινὰ παραινοῦντα, ἢ τοῖς θηβαίοις, ἢ τοῖς πλαταιεῦσιν, οὕτως· ἄγετε ὦ πλαταιεῖς, ὅπως ἄξιοι τῆς πόλεως ἔσοισθε, καὶ τῶν προγόνων πρὸς πέρσας τε καὶ μαρδόνιον ἠγωνισμένων, καὶ τῶν ἐν τῇ χώρᾳ τῇ ἡμετέρᾳ κειμένων δείξατε τοῖς θηβαίοις, ὅτι μὴ δίκαια ποιοῦσιν, ἀξιοῦντες μὲν ὑμᾶς σφίσιν ὑπακούειν καὶ δουλεύειν, οὐκ ἐθέλοντας δὲ, πολέμῳ βιαζόμενοι παρὰ τοὺς ὅρκους, καὶ τὰς συνθήκας ὀλίγῳ πλείους τριακοσίων. εἶτα εἰσῆλθον περὶ πρῶτον ὕπνον σὺν ὅπλοις εἰς τὴν πόλιν τὴν ὑμετέραν, οὖσαν ἀθηναίων συμμαχίδα. καὶ ὡσαύτως τὰ ἑξῆς, ὡς πρὸς πλαταιεῖς διηγήσομαι, εἰ δὲ ὑποθώμεθα τὴν πα

ρακέλευσιν

ῥακέλευσιν γίνεσθαι πρὸς τοὺς θηβαίους, οὕτως ἐροῦμεν· ἄγετε ὦ θηβαῖοι, ὅπως φανήσεσθε αὐτῶν τε, καὶ τῶν πατρῴων ἄξιοι, καὶ τῆς ἀρχῆς, ἣν ἔξετε, συμπάσης τῆς Βοιωτίας, καὶ δείξατε τοῖς πλαταιεῦσιν, ὅτι δοῦλοι ὄντες ὑμέτεροι, οὐ μόνον ἀποδεδράκασι πρὸς ἀθηναίους, ἀλλὰ καὶ ἄνδρας ὑμετέρους ὀλίγῳ πλείους τριακοσίων, ἐλθόντας περὶ πρῶτον ὕπνον σὺν ὅπλοις εἰς τὴν πλάταιαν τὴν ἑαυτῶν, διέφθειραν. καὶ τὸν τρόπον, καὶ τὰ λοιπὰ διηγησόμεθα. ἔστι δὲ καὶ οὕτω πρόσταξιν ποιήσασθαι, εἰ ὑποθώμεθά τινα τοῖς θηβαίοις, πρὶν γενέσθαι τὴν εἰς πλάταιαν εἴσοδον προστάττοντα, ἃ δὴ καὶ ἔπραξαν· ἄγετε ὦ θηβαῖοι, ὅπως ἄνδρες ἐξ ὑμῶν ὀλίγῳ πλείους τριακοσίων εἰσέλθωσι περὶ πρῶτον ὕπνον σὺν ὅπλοις εἰς πλάταιαν τὴν ὑμετέραν, νῦν δ' οὖσαν ἀθηναίων συμμαχίδα· καὶ τὰ ἑξῆς, ὡς ἂν ἐνδέχηται, κατὰ τὸν τρόπον διεξελευσόμεθα. εἰ δὲ εὐχόμεθα, οὕτως ἐροῦμεν· εἴθε μηδέ ποτε θηβαίων ἄνδρες ὀλίγῳ πλείους τριακοσίων, εἰσῆλθον περὶ πρῶτον ὕπνον σὺν ὅπλοις εἰς πλάταιαν τῆς Βοιωτίας, οὖσαν ἀθηναίων συμμαχίδα· καὶ μέχρι τέλους, κατὰ τὸν τοῦ εὐχομένου τρόπον διηγησόμεθα. οὐκ

ἄδηλος

ἄδηλος δὲ ὁ τρόπος, πῶς κατὰ τὴν ὀνομαστικὴν προφορὰν ἡ διήγησις ἐξενεχθήσεται. τὴν δὲ προσαγορευτικὴν παραιτούμεθα, ὅτι καὶ πρότερον, περὶ τῶν κατὰ τὰς πτώσεις ἐγκλίσεων, ἤδη παραδεδώκαμεν ὑπὲρ τῆς κλητικῆς. ὑποτιθέμενοι δὲ, οὕτως ἐροῦμεν· ὑποθώμεθα γὰρ θηβαίων ἄνδρας, ὀλίγῳ πλείους διακοσίων, εἰσελθεῖν περὶ πρῶτον ὕπνον σὺν ὅπλοις εἰς πλάταιαν τῆς βοιωτίας, οὖσαν ἀθηναίων συμμαχίδα, ἀνέῳξαν αὐτοῖς τὰς πύλας, ναυκλείδης τε καὶ οἱ μετ' αὐτοῦ ἔθεντο εἰς τὴν ἀγορὰν τὰ ὅπλα. ὁμοίως δὲ καὶ τὰ ἑξῆς. καὶ παρὰ Δημοσθένει· ἀμφίπολιν, πύδναν, ποτίδαιαν, ἀλόννησον, οὐδενὸς τούτων μέμνημαι. ἔτι καὶ πάλιν· ἀλλ' ἐφ' ἑλλήσποντον οἴχεται. πρότερον ἧκεν ἐπ' ἀμβρακίαν· ἦλιν ἔχει, τηλικαύτην πόλιν ἐν πελοποννήσῳ. μεγάροις ἐπεβούλευσε πρώην. ἔστι δὲ καὶ τούτους ἀλλήλοις ἐπιπλέκειν τοὺς τρόπους, καὶ μικτὸν ἐκ δυοῖν, ἢ πλειόνων ποιεῖν. ὡς τοῦ διηγήματος, τὰ μὲν ἀπαγγεῖλαι κατὰ τὸν τοῦ ἀποφαινομένου τρόπον, τὰ δὲ ἀσυνδέτως, τὰ δὲ ὅπως ἂν τις βούλοιτο ποικίλλων τὴν φράσιν. ἐπιφωνεῖν δὲ διηγήσει δεῖ, τὸ καθ' ἕκαστον μέρος τῆς διηγήσεως γνώμην ἐπιλέγειν, τὸ δὲ τοιοῦτον, οὔθ' ἱστορίας

πρέπον ἐστὶν, οὔτε πολιτικῷ λόγῳ· θεάτρῳ δὲ,
καὶ σκηνῇ μᾶλλον ἐπιτήδειον. διὸ καὶ παρὰ
τοῖς τοιούτοις ποιηταῖς, ἐπιπλεῖστόν ἐστιν, ὡς πα-
ρὰ Μενάνδρῳ πολλαχοῦ μὲν ἀλλαχόθι, καὶ ἐν
ἀρχῇ δὲ τοῦ τε Δαρδάνου, καὶ τοῦ Ξενολόγου·
» ἀνδρὸς πένητος υἱὸς ἐκτεθραμμένος, οὐκ ἐξ
» ὑπαρχόντων ὁρῶν ἠγωνίατο τὸν πατέρα μι-
» κρὸν ἔχοντα. παιδευθεὶς γὰρ εὖ, τὸν καρπὸν
» εὐθὺς ἀπεδίδου χάριτος καλόν. ὁ γὰρ τελευ-
ταῖος στίχος, ἐκ περιττοῦ πρόκειται, θηρώμενος
μόνον, τὸν παρὰ τῶν θεατῶν ἔπαινον. ὅταν μέν-
τοι συνεχῶς ἐγκαταμιγνύῃ τις, καὶ λανθάνῃ
ταῦτα τὰ γνωμικὰ, ἐπίχαρίς πως ἡ διήγησις
γίνεται, ὡς παρὰ Ἡροδότῳ ἐν τῇ πρώτῃ. λέ-
γων γὰρ περὶ τοῦ ἀνθρωπηΐου βίου, ὡς οὐκ ἔστι στα-
θερὸς, ἀλλὰ πολλὰς ἐν αὐτῷ ἔχει τὰς μεταβο-
λὰς, ἔπειτα ἐξαριθμησάμενος ὅσων ἡμερῶν
ἐστὶν ἀνθρωπίνη ζωὴ, ὡς ἑβδομήκοντα ἔτη, ἐ-
» πιφέρει· τούτων τῶν ἁπασέων ἡμερέων, ἡ ἑτέ-
» ρη αὐτέων, τῇ ἑτέρῃ ἡμέρῃ τὸ παράπαν, οὐδὲν
» ὅμοιον ἐσάγει πρῆγμα. εἶτα ἐπιφωνεῖ κατὰ τὸν
» τρόπον· οὕτως ὦ Κροῖσε, πᾶς ἐστιν ἄνθρωπος
καὶ ὡς ὁ συμφορή. † οἷος ὁ Γύγης πρὸς τὸν Κανδαύλην
» λέγει· δέσποτα, τίνα λόγον ἔχεις οὐχ ὑγιέα, κε-
» λεύων δέσποιναν τὴν ἐμὴν θεήσασθαι γυ-
μνήν.

μνῶ. ἅμα δὲ χιτῶνι ἐκδυομένῳ, συνεκδύεται καὶ τὴν αἰδῶ γυνή. καὶ μὴν καὶ παρὰ τοῖς ῥήτορσιν εὕροιμεν ἄν. οὐχ ἥκιστα καὶ παρὰ τῷ πολιτικωτάτῳ Δημοσθένει, καὶ ἐν τοῖς πολιτικωτάτοις αὐτοῦ λόγοις. ἐν γὰρ τῷ δευτέρῳ τῶν ὀλυνθιακῶν διηγούμενος περὶ τοῦ Φιλίππου, ὅτι περὶ αὐτὸν ἔχει μίμους γελοίων, καὶ ποιητὰς αἰσχρῶν ᾀσμάτων, καὶ οὓς γε ἡ πόλις ἀθηναίων ἐξέβαλεν ὡς ἀσελγεστέρους ὄντας, καὶ ὅτι τοιοῦτος ὢν Φίλιππος, εἰκότως λανθάνει πάντας ἀνθρώπους, διὰ τὸ κατορθοῦν ἐν τοῖς πολέμοις, μετὰ ταῦτα ἐπιφωνεῖ. αἱ γὰρ εὐπραξίαι, δειναὶ συγκρύψαι, καὶ συσκιάσαι τὰ τοιαῦτα ὀνείδη. ἔστι δὲ καὶ ἀνάπαλιν, προτεθέντα γνωμικὸν λόγον, διηγήσασθαι. καθάπερ καὶ ἐπὶ τοῦ μύθου παρεσημειωσάμεθα· οἷον καὶ παρὰ Μενάνδρῳ, ἐν τῇ χρηστῇ ἐπικλήρῳ,

Ἆρ' ἐστὶ πάντων ἀγρυπνία λαλίστατον. εἶτα ἑξῆς τὸ διήγημα. ἐμὲ γοῦν ἀναστήσασα δεῦρὶ προάγεται λαβεῖν ἀπ' ἀρχῆς πάντα τὸν ἐμαυτοῦ βίον. διήγησιν δὲ διηγήσει συμπλέκειν ἐστὶν, ὅταν δύο διηγήσεις, ἢ καὶ πλείους ἅμα διηγεῖσθαι ἐπιχειρῶμεν. τοῦτο δὲ μάλα ἐπετήδευσαν οἱ ἀπὸ Ἰσοκράτους, καὶ ὁ αὐτὸς Ἰσοκράτης ἐν τῷ πανηγυρικῷ, οὕτως· ἦλθον

» οἶδ' ἡρακλέους παῖδα. καὶ μικρὸν πρὸ τού-
» των, ἄδραστος ὁ ταλάου, βασιλεὺς ὢν ἀρ-
» γους. οὗτος μὲν ἐκ τῆς στρατείας τῆς ἐπὶ θήβας
» δεδυστυχηκώς, καὶ τὰ ἑξῆς. καὶ πάλιν· ἔτι γὰρ
» ταπεινῆς οὔσης τῆς ἑλλάδος, ἦλθον εἰς τὴν χώ-
» ραν ἡμῶν, θρᾷκες μὲν μετὰ εὐμόλπου τοῦ πο-
» σειδῶνος, σκύθαι δὲ μετὰ ἀμαζόνων, τῶν ἄ-
» ρεως θυγατέρων, οὐ κατὰ τὸν αὐτὸν χρόνον,
καὶ τὰ ἑξῆς. καὶ περὶ μὲν τὸν τρόπον τῆς γυμνασίας, τοσαῦτα· καὶ ὅτι κατ' αὐτοὺς δυνατόν ἐστι γυμνάσασθαι κἂν τοῖς μύθοις.

ΠΕΡΙ ΧΡΕΙΑΣ.



ΡΕΙΑ ἐστί, σύντομος ἀπόφασις, ἢ πρᾶξις, ἀναφερομένη μετ' εὐστοχίας εἴς τι ὡρισμένον πρόσωπον, ἢ ἀναλογοῦν προσώπῳ. παράκειται δὲ αὐτῇ, γνώμη, καὶ ἀπομνημονεύματα. πᾶσα γὰρ γνώμη σύντομος, εἰς πρόσωπον ἀναφερομένη, χρείαν ποιεῖ. καὶ τὸ ἀπομνημόνευμα δέ, πρᾶξίς ἐστιν, ἢ λόγος βιωφελής. διαφέρει δὲ ἡ μὲν γνώμη τῆς χρείας, τέτρασι τοῖσδε· τῷ τὴν μὲν χρείαν πάντως ἀναφέρεσθαι εἰς πρόσωπον, τὴν δὲ γνώμην οὐ πάντως. καὶ τῷ, ποτὲ μὲν τὸ καθόλου, ποτὲ

λυ, ποτὲ δὲ τὸ περὶ μέρους ὑποφαίνεσθαι τὴν χρείαν
ἐνίοτε μηδὲν ἔχουσαν βιωφελές· τὴν δὲ γνώ-
μην ἀεὶ περὶ τῶν ἐν τῷ βίῳ χρησίμων εἶναι· τέ-
ταρτον, ὅτι ἡ μὲν χρεία, πρᾶξις, ἢ λόγος ὑπάρ-
χει. ἡ δὲ γνώμη, λόγος ἐστὶ μόνον. τὸ δὲ ἀπομνη-
μόνευμα, ἔσθ᾽ ὅτε ἐπεκτείνεται, καὶ ἡ μὲν ἀ-
ναφέρεται εἴς τινα πρόσωπα, τὸ δὲ ἀπομνη-
μόνευμα καὶ καθ᾽ ἑαυτὸ μνημονεύεται. εἴρηται
δὲ χρεία, κατ᾽ ἐξοχὴν, ὅτι μᾶλλον τῶν ἄλλων
πρὸς πολλὰ χρειώδης ἐστὶ τῷ βίῳ. καθάπερ
καὶ Ὅμηρον, πολλῶν ὄντων ποιητῶν, κατ᾽ ἐξο-
χὴν τοῦτον μόνον καλεῖν εἰώθαμεν ποιητήν. τῆς
δὲ χρείας τὰ ἀνωτάτω γένη, τρία. αἱ μὲν γάρ εἰσι
λογικαὶ, αἱ δὲ πρακτικαὶ, αἱ δὲ μικταί. λογι-
καὶ μέν εἰσιν, αἱ χωρὶς πράξεως διὰ λόγων ἔ-
χουσαι τὸ κῦρος· οἷον, Διογένης ὁ φιλόσοφος ἐ-
ρωτηθεὶς ὑπό τινος πῶς ἂν ἔνδοξος γένοιτο;
ἀπεκρίνατο, ὅτι ἥκιστα δόξης φροντίζων. τῶν δὲ
λογικῶν, εἴδη δύο· ἀποφαντικὸν, καὶ ἀποκριτι-
κόν. τοῦ δὲ ἀποφαντικοῦ, αἱ μέν εἰσι καθ᾽ ἑκούσιον
ἀπόφασιν· οἷον, Ἰσοκράτης ὁ σοφιστὴς τοὺς εὐ-
φυεῖς τῶν μαθητῶν, θεῶν παῖδας ἔλεγεν εἶναι. αἱ δὲ
κατὰ πεῦσιν· οἷον, Διογένης ὁ κυνικὸς φιλόσοφος
ἰδὼν μειράκιον πλούσιον ἀπαίδευτον, εἶπεν, οὗτός
ἐστι ῥύπος περικεχρυσωμένος. οὐ γὰρ ὁ Διογένης

ἁπλῶς ἀπεφήνατο, ἀλλ' ἐξ ὧν εἶδεν. ἔτι καὶ τοῦ
ἀποκριτικοῦ εἰσὶν εἴδη τέσσαρα. τό, τε κατ' ἐ-
ρώτησιν, καὶ τὸ κατὰ πύσμα, καὶ τὸ κατ' ἐ-
ρώτησιν αἰτιῶδες, καὶ τὸ ὁμωνύμως τῷ γένει
λεγόμενον ἀποκριτικόν. διαφέρει δὲ τοῦ πύσμα-
τος ἡ ἐρώτησις, ὅτι πρὸς μὲν τὴν ἐρώτησιν,
συγκαταθέσθαι δεῖ μόνον, ἢ ἀρνήσασθαι, οἷον
ἀνανεῦσαι, ἢ κατανεῦσαι, ἢ διά γε τοῦ ναί,
ἢ τοῦ οὔ, ἀποκρίνασθαι. τὸ δὲ πύσμα, μακροτέ-
ραν ἀπαιτεῖ τὴν ἀπόκρισιν. κατ' ἐρώτησιν
μὲν οὖν ἐστιν, οἷον πιττακὸς ὁ μιτυληναῖος ἐρω-
τηθεὶς, εἰ λανθάνει τις τοὺς θεοὺς φαῦλόν τι ποιῶν,
εἶπεν οὔ, οὐδὲ διανοούμενος. μετὰ γὰρ τὴν
ἀπόφασιν τὸ προστιθέμενον, περιττόν ἐστι
ἐπεὶ καὶ ἀφαιρεθέντος αὐτοῦ, ἐπήρκει ἡ
ἀπόφασις. ἡ δὲ πυσματικὴ, τοιαύτη ἐστίν· οἷον
θεανὼ ἡ πυθαγορικὴ φιλόσοφος ἐρωτηθεῖσα
ὑπό τινος, ποία γυνὴ ὑπ' ἀνδρὸς καθαρὰ εἰς
τὸ θεσμοφορεῖον κάτεισιν, εἶπεν, ἀπὸ μὲν τοῦ
ἰδίου παραχρῆμα, ἀπὸ δὲ τοῦ ἀλλοτρίου οὐδέ-
ποτε. αἱ δὲ κατ' ἐρώτησιν αἰτιώδεις εἰσίν, ὅ-
σαι χωρὶς τῆς πρὸς τὴν ἐρώτησιν ἀποκρίσεως,
καὶ αἰτίαν τινὰ ἔχουσιν, ἢ συμβουλὴν, ἤ τι τοιοῦ-
τον· οἷον σωκράτης ἐρωτηθεὶς, εἰ εὐδαίμων αὐ-
τῷ δοκεῖ ὁ τῶν περσῶν βασιλεύς; οὐκ ἔχω λέ-
γειν,

γειν; εἶπε. μὴ δὲ γὰρ εἰδέναι, πῶς ἔχει που-
δείας. ἀποκριτικαὶ δέ εἰσιν, αἱ μήτε κατ' ἐρώ
τησιν, μήτε κατὰ πύσμα, λόγον δέ τινα ἔχου
σαι, πρὸς ὃν ἐστὶν ἡ ἀπόκρισις· οἷον Πλάτων πο
τὲ Διογένους ἀριστῶντος ἐν ἀγορᾷ, καὶ καλοῦν
τος αὐτὸν ἐπὶ τὸ ἄριστον, ὦ Διόγενες (εἶπεν) ὡς
χάριεν ἂν ἦν σου τὸ ἄπλαστον, εἰ μὴ πλαστὸν ἦν.
οὔτε γὰρ Διογένης περί τινος ἠρώτα τὸν Πλά
τωνα, οὔτε ὁ Πλάτων πυνθάνεται αὐτοῦ, ἀλλ'
ἁπλῶς πρὸς τὸ ἄριστον καλεῖ αὐτὸν, ὅπερ ἐστὶ τῶν
οὐδετέρων. ἔστι δὲ παρὰ ταῦτα καὶ ἄλλο εἶ-
δος, ἐμπίπτον εἰς τὰς λογικὰς, καλούμενον
διπλοῦν. διπλῆ δέ ἐστι χρεία, ἡ δύο προσώ-
πων ἀποφάσεις ἔχουσα, ὧν καὶ ἡ ἑτέρα μεθ' ἑ-
νὸς προσώπου, χρείαν ποιεῖ· οἷον, Ἀλέξανδρος
ὁ τῶν Μακεδόνων βασιλεὺς, ἐπιστὰς Διογένει
κοιμωμένῳ εἶπεν, Οὐ χρὴ παννύχιον εὕδειν "
βουληφόρον ἄνδρα. καὶ ὁ Διογένης ἀπεκρί- "
νατο, ᾧ λαοί τ' ἐπιτετράφαται, καὶ τόσα μέ- "
μηλεν. ἦν γὰρ καὶ οὕτω χρεία μὴ προστιθεμέ-
νης τῆς ἀποκρίσεως. πρακτικαὶ δέ εἰσιν, αἱ χω-
ρὶς λόγου ἐμφαίνουσαί τινα νοῦν. τῶν δὲ πρακ-
τικῶν, αἱ μέν εἰσιν ἐνεργητικαὶ, αἱ δὲ παθητι-
καί. ἐνεργητικαὶ μὲν, ὅσαι δηλοῦσί τινα ἐνέρ
γειαν· οἷον Διογένης ὁ κυνικὸς φιλόσοφος,

ἰδὼν ὀψοφάγον παῖδα, τὸν παιδαγωγὸν τῇ βακτηρίᾳ ἔπαισε. παθητικαὶ δὲ, αἱ πάθος τι σημαίνουσαι· οἷον, Δίδυμος ὁ αὐλητὴς ἁλοὺς ἐπὶ μοιχείᾳ, ἐκ τοῦ ὀνόματος ἐκρεμάσθη. μικταὶ δέ εἰσιν, ὅσαι τοῦ μὲν λογικοῦ, καὶ τοῦ πρακτικοῦ κοινωνοῦσιν, ἐν δὲ τῷ πρακτικῷ τὸ κῦρος ἔχουσιν. οἷον, πυθαγόρας ὁ φιλόσοφος, ἐρωτηθεὶς πόσος ἐστὶν ὁ τῶν ἀνθρώπων βίος; ἀναβὰς ἐπὶ τὸ δωμάτιον, παρέκυψεν ὀλίγον, δηλῶν διὰ τούτου τὴν βραχύτητα. καὶ ἔτι λάκων, ἐρομένου τινὸς αὐτὸν, ποῦ τοὺς ὅρους τῆς γῆς ἔχουσιν λακεδαιμόνιοι; ἔδειξε τὸ δόρυ. τὰ μὲν οὖν εἴδη τῶν χρειῶν, ταῦτά ἐστιν. προφέρονται δὲ, αἱ μὲν γνωμολογικῶς, αἱ δὲ ἀποδεικτικῶς, αἱ δὲ κατὰ χαριεντισμὸν, αἱ δὲ κατὰ συλλογισμὸν, αἱ δὲ κατὰ ἐνθύμημα, αἱ δὲ κατὰ παράδειγμα, αἱ δὲ κατ᾽ εὐχὴν, αἱ δὲ συμβολικῶς, αἱ δὲ τροπικῶς, αἱ δὲ κατὰ ἀμφιβολίαν, αἱ δὲ κατὰ ἀντίληψιν, αἱ δὲ συνεζευγμένως, ἐξ οἵων δή ποτε τῶν προειρημένων τρόπων συγκείμεναι. γνωμολογικῶς μὲν, οἷον, Βίων ὁ σοφιστὴς, τὴν φιλαργυρίαν μητρόπολιν ἔλεγε πάσης κακίας εἶναι. ἀποδεικτικῶς δὲ, οἷον Ἰσοκράτης ὁ ῥήτωρ παρῄνει τοῖς γνωρίμοις, προτιμᾶν τῶν γονέων τοὺς διδασκάλους, ὅτι οἱ

μὲν

μὲν τοῦ ζῆν μόνον, οἱ δὲ διδάσκαλοι καὶ τοῦ καλῶς ζῆν αἴτιοι γεγόνασι. τὴν γὰρ ἀπόφασιν αὐτοῦ Ἰσοκράτης, μετὰ ἀποδείξεως ἐξενήνοχε. κατὰ χαριεντισμὸν δὲ, οἷον ὀλυμπιὰς πυθομένη τὸν ἀλέξανδρον διὸς αὐτὸν ἀποφαίνειν, οὐ παύσεταί οὗτος (ἔφη) διαβάλλων με πρὸς τὴν ἥραν; συλλογιστικῶς δὲ, οἷον διογένης ὁ φιλόσοφος, ἰδὼν μειράκιον πλούσιον καλλωπιζόμενον, εἶπεν· εἰ μὲν πρὸς ἄνδρας, ἀτυχεῖς, εἰ δὲ πρὸς γυναῖκας, ἀδικεῖς. ἐνθυμηματικῶς δὲ, οἷον σωκράτης ὁ φιλόσοφος, ἀπολλοδώρου τινὸς γνωρίμου λέγοντος αὐτῷ, ἀδίκως σου θάνατον κατέγνωσαν ἀθηναῖοι· γελάσας ἔφη, σὺ δὲ ἐβούλου δικαίως; προσενθυμεῖται, ὅτι ἄρα βέλτιον ἀδίκως ἢ δικαίως κατεγνῶσθαι· ὅπερ ἐν τῇ χρείᾳ δοκεῖ παραλελεῖφθαι δηλούμενον. κατὰ παράδειγμα δὲ, οἷον ἀλέξανδρος ὁ τῶν μακεδόνων βασιλεὺς, παρακαλούμενος ὑπὸ τῶν φίλων συναγαγεῖν χρήματα, εἶπεν, ἀλλὰ ταῦτα οὐκ ὤνησεν οὐδὲ κροῖσον. εὐκτικῶς δὲ, οἷον δάμων ὁ παιδοτρίβης χωλοὺς ἔχων τοὺς πόδας, κλαπέντων αὐτοῦ τῶν ὑποδημάτων, ἔφη, εἴθε ἐναρμόσειε τῷ κλέπτῃ. συμβολικῶς δὲ, οἷον, ἀλέξανδρος ὁ τῶν μακεδόνων βασιλεὺς, ἐρωτηθεὶς ὑπό τινος, ποῦ ἔχει τοὺς θησαυ-

ρούς; ἐν τούτοις ἔφη, δείξας τοὺς φίλους. τροπικῶς δὲ, οἷον Πλάτων ὁ φιλόσοφος, τοὺς τῆς ἀρετῆς κλῶνας ἔφη ἱδρῶτι καὶ πόνοις φύεσθαι. κατὰ ἀμφιβολίαν δὲ, οἷον Ἰσοκράτης ὁ ῥήτωρ, συνισταμένου αὐτῷ παιδίου, καὶ ἐρωτῶντος τοῦ συνιστάντος, τίνος αὐτῷ δεῖ, εἶπε, πινακιδίου, καὶ νοῦ. καὶ γραφιδίου, καὶ νοῦ· ἀμφιβαλλόμενον γὰρ, πότερον νοῦ καὶ πινακιδίου λέγει, ἢ πινακίδος καινῆς, καὶ καινοῦ γραφιδίου. κατὰ μετάληψιν δέ ἐστιν, ὅταν τὸ λεγόμενον, καὶ τὸ ἐρωτώμενον, ἐπ᾽ ἄλλο τις ἀποκρινόμενος μεταλαμβάνῃ· οἷον, Πύῤῥος ὁ τῶν Ἠπειρωτῶν βασιλεὺς, ζητούντων τινῶν παρὰ πότον, πότερος κρείττων αὐλητής, Ἀντιγενίδας, ἢ Σάτυρος; ἐμοὶ μὲν εἶπε στρατηγὸς Πολυσπέρχων. ὁ δὲ συνεζευγμένος τρόπος οὐκ ἄδηλός ἐστιν, ὅτι πολλαχῶς γίνεται. ἢ γὰρ γνωμικῷ χαριεντισμῷ συμπλακήσεται, ἢ παραδείγματι συμβολικῷ, ἢ ἀμφιβολίᾳ καὶ μεταλήψει, ἢ ἁπλῶς καθ᾽ ὅσους καὶ ἄλλους τρόπους δυνατὸν συγγίνεσθαι συζυγίᾳ, ἤτοι δυοῖν, ἢ καὶ πλειόνων τρόπων εἰς μίαν χρείαν παραλαμβανομένων· οἷον, Διογένης ὁ κυνικὸς φιλόσοφος, ἰδὼν μειράκιον ἐκ τοίχου λίθους βάλλον εἰς ἀγορὰν, παῦσαι (ἔφη) παιδίον, μὴ ἀ-

γνοοῦν

γνοοιῶ παίσης τὴν πατρίδα. ἔχει γὰρ ἅμα καὶ συμβολικῶς, καὶ χαριέντως ἡ ἀπόφασις. γυμνάζοντες δὲ κατὰ τὰς χρείας, τῇ ἀπαγγελίᾳ, τῇ κλίσει, τῇ ἐπιφωνήσει, τῇ ἀντιλογίᾳ. ἐπεκτείνομέν τι, καὶ συστέλλομεν τὴν χρείαν, πρὸς δὲ τούτοις ἀνασκευάζομεν, καὶ κατασκευάζομεν. καὶ ἡ μὲν ἀπαγγελία, φανερά ἐστι. ἐνθεῖσαι γὰρ χρείαν, πειρώμεθα κατὰ τὸ δυνατὸν αὐτοῖς ὀνόμασιν, ἢ καὶ ἑτέροις σαφέστατα ἑρμηνεῦσαι. ἡ δὲ κλίσις, ἐστὶ ποικίλη. τὰ γὰρ ἐν τῇ χρείᾳ πρόσωπα, εἰς τοὺς τρεῖς ἀριθμοὺς ἐναλλάττομεν, καὶ τοῦτο οὐχ ἁπλῶς, ἀλλ' οἷον ἑνὸς πρὸς ἕνα, καὶ δύο πρὸς δύο, καὶ πλείους πρὸς πλείους. καὶ πάλιν, δυοῖν πρὸς ἕνα, καὶ πρὸς δύο, καὶ πρὸς πλείους. προκειμένης γὰρ χρείας, ὅτι Ισοκράτης ὁ ῥήτωρ, τοὺς εὐφυεῖς τῶν μαθητῶν, θεῶν παῖδας ἔλεγεν εἶναι, οὕτω κλίνομεν. ἑνὸς μὲν πρὸς ἕνα, οἷον, ἰσοκράτης ὁ ῥήτωρ, τὸν εὐφυεῖ τῶν μαθητῶν, θεοῦ παῖδα ἔλεγεν εἶναι. δυοῖν δὲ πρὸς δύο, ἰσοκράτει τὼ ῥήτορε, τὼ εὐφυεῖ τῶν μαθητῶν, θεῶν παῖδε ἐλεγέτην εἶναι. πλειόνων δὲ πρὸς πλείους, ἰσοκράτεις οἱ ῥήτορες, τοὺς εὐφυεῖς τῶν μαθητῶν, θεῶν παῖδας ἔλεγον εἶναι. φανερὸν δὲ ἐκ τούτων, πῶς καὶ τοὺς ἄλλους τρόπους κλινοῦμεν, μεταλαμβάνοντες

γὰρ καὶ εἰς τὰς πέντε πτώσεις. ἀλλ᾽ ἐπεὶ τῶν χρειῶν αἱ μὲν εἰσιν λογικαὶ, αἱ δὲ πρακτικαὶ, αἱ δὲ ἐξ ἀμφοῖν τούτοιν μικταὶ, καὶ τούτων οὖν ἕτερα εἴδη ἐστὶν ἄλλα, καθ᾽ ἕκαστον αὐτῶν πειρασόμεθα διδάσκειν τὴν κλίσιν ἐπὶ παραδείγματος. ἡ μὲν οὖν ὀρθὴ, οὐδεμίαν ἔχει δυσκολίαν· κατὰ γὰρ τὴν αὐτὴν ἑκάστη τῶν χρειῶν εἴωθε προφέρεσθαι. τὴν δὲ γενικὴν πτῶσιν, οὕτω κλινοῦμεν. ἐὰν μὲν λογικὴ ᾖ ἡ χρεία, προσθήσομεν αὐτῇ, τὸ ῥηθὲν μνήμης ἔτυχεν, ἢ λόγος ἀπομνημονεύεται, εἰπόντος. τὸ μὲν οὖν πρότερον, μετὰ τὴν ἀπαγγελίαν ὅλης τῆς χρείας, εὐπρεπές ἐστιν ἐπιζευγνύειν· οἷον, Ἰσοκράτους τοῦ ῥήτορος, τοὺς εὐφυεῖς τῶν μαθητῶν θεῶν παῖδας λέγοντος εἶναι, τὸ ῥηθὲν μνήμης ἔτυχε. τὸ δὲ δεύτερον, μεσούσης αὐτῆς, καὶ τῆς ἀποφάσεως ἀρχομένης, οἷον Πιττακοῦ τοῦ Μιτυληναίου ἐρωτηθέντος εἰ λανθάνει τις τοὺς θεοὺς φαῦλόν τι ποιῶν, λόγος ἀπομνημονεύεται, εἰπόντος, οὐδὲ διανοούμενος. ἁρμόττει δὲ μᾶλλον, τὸ μὲν, λόγος ἀπομνημονεύεται, πάσαις ταῖς λογικαῖς χρείαις, πλὴν τῆς καθ᾽ ἑκούσιον ἀπόφασιν. ταύτῃ γὰρ, τὸ ῥηθὲν μνήμης ἔτυχεν. ἐὰν δὲ πρακτικὴ ᾖ χρεία, εἰ μὲν παθητικὴ εἴη, προσθετέον, τὸ συμβὰν μνήμης ἔτυχεν. εἰ δὲ ἐνεργητικὴ

ὑβριστική, τὸ πραχθὲν μνήμης ἔτυχεν. ὁμοίως δὲ καὶ ἐπὶ τοῦ μικτοῦ. ἐπὶ τέλει μὲν τῶν χρειῶν, καὶ τούτων ἕκαστον προσθετέον· οἷον, Διδύμου τοῦ αὐλητοῦ ἁλόντος ἐπὶ μοιχείᾳ, καὶ ἐκ τοῦ ὀνόματος κρεμασθέντος, τὸ συμβὰν μνήμης ἔτυχε. καὶ Διογένους τοῦ κυνικοῦ φιλοσόφου ἰδόντος ὀψοφάγον παῖδα, καὶ τὸν παιδαγωγὸν τῇ βακτηρίᾳ παίσαντος, τὸ πραχθὲν μνήμης ἔτυχε. τῇ δὲ δοτικῇ, ἐπὶ πάσης χρείας πλὴν τῆς παθητικῆς προσθήσομεν, τὸ ἔδοξεν, ἢ τὸ ἐφάνη, ἢ τὸ ἐπῆλθεν, ἢ καὶ παρέστη, ἤ τι τῶν τοιούτων· οἷον, Διογένει τῷ κυνικῷ φιλοσόφῳ ἰδόντι μειράκιον πλούσιον ἀπαίδευτον, ἔδοξεν εἰπεῖν, οὗτός ἐστι ῥύπος περικεχρυσωμένος. ἐπὶ μὲν τῆς παθητικῆς προσθήσομεν, τὸ συνέβη· οἷον Διδύμῳ τῷ αὐλητῇ ἁλόντι ἐπὶ μοιχείᾳ, συνέβη ἐκ τοῦ ὀνόματος κρεμασθῆναι. ἐπὶ δὲ τῆς αἰτιατικῆς, προσθήσομεν καθόλου ἐπὶ πάσης χρείας, τὸ φασὶ, τὸ λέγεται· οἷον, Διογένην τὸν κυνικὸν φιλόσοφον, ἰδόντα μειράκιον πλούσιον ἀπαίδευτον, φασὶν εἰπεῖν, ἢ λέγεται, οὗτός ἐστι ῥύπος περικεχρυσωμένος. ἡ δὲ κλητικὴ σαφής ἐστι. ποιησόμεθα γὰρ τὸν λόγον πρὸς τὸ ὂν ἡμῖν πρόσωπον, ἐφ' ὃ ἡ χρεία ἀναφέρεται.

ρεται· οἷον, διόγενες κυνικὲ φιλόσοφε, ἰδὼν μειράκιον πλούσιον ἀπαίδευτον, εἶπας, οὗτός ἐστι ῥύπος περικεχρυσωμένος. ἐπαινεῖν δέ ἐστιν ἀποδεχομένους οἰκείως, καὶ συντόμως τὸ εἰρημένον διὰ τῆς χρείας, ἢ ὡς ἀληθές ἐστιν, ἢ ὡς καλόν, ἢ ὡς συμφέρον, ἢ ὡς καὶ ἄλλοις τὸ αὐτὸ τοῦτο ἔδοξεν ἀνδράσι δεδοκιμασμένοις· οἷον, εὐριπίδης ὁ ποιητὴς τὸν νοῦν ἡμῶν ἑκάστου ἔφησεν εἶναι θεόν. ἐπαινήσομεν δέ, ἐκ μὲν τοῦ ἀληθοῦς, οὕτως· θεὸς γὰρ ὄντως ἑκάστῳ, ὁ νοῦς, ἐφ' ἃ μὲν συμφέρει προτρέπων ἡμᾶς, ἀπείργων δὲ τῶν ζημιούντων. ἐκ δὲ τοῦ καλοῦ, οὕτω· καλὸν γὰρ ἕκαστον, μὴ ἐν χρυσῷ καὶ ἀργύρῳ νομίζειν εἶναι τὸν θεόν, ἀλλ' ἐν ἑαυτῷ. ἐκ δὲ τοῦ συμφέροντος, οὕτως· ἵνα μὴ διὰ μακροῦ κεῖσθαι τὸ τιμωροῦν οἰόμενοι, πολλὴν τοῦ ἀδικεῖν ἔχοιμεν εὐχέρειαν. ἐκ δὲ τῆς τῶν εὐδοκίμων μαρτυρίας, ὅταν ἢ σοφόν, ἢ νομοθέτην, ἢ ποιητήν, ἢ ἄλλον τινὰ τῶν ὠνομασμένων, λέγωμεν ὁμογνωμονεῖν τῷ ῥηθέντι· οἷον, ἐπὶ τῆς προκειμένης χρείας φήσομεν· Τοῖος γὰρ νόος ἐστὶν ἐπιχθονίων ἀνθρώπων, οἷον ἐπ' ἦμαρ ἄγησι πατὴρ ἀνδρῶν τε θεῶν τε. ἀντιλέγομεν δὲ ταῖς χρείαις ἐκ τῶν ἐναντίων, ὡς πρὸς τὸν Ἰσοκράτην εἰπόντα, ὅτι τοὺς διδασκάλους προτιμητέον τῶν

πατέρων·

πατέρων· οἱ μὲν γὰρ τὸ ζῆν ἡμῖν, οἱ δὲ διδάσκαλοι τὸ καλῶς ζῆν παρέσχοντο. φαμὲν γὰρ ἀντιλέγοντες, ὅτι οὐκ ἐνῆν καλῶς ζῆν, εἰ μὴ τὸ ζῆν οἱ πατέρες παρέσχοντο. εἰδέναι δὲ δεῖ, ὅτι οὐ δυνατὸν ἀντιλέγειν πάσῃ χρείᾳ, πολλῶν καλῶς καὶ ἀμέμπτως εἰρημένων· ὥσπερ οὐδὲ πάσας ἐστὶν ἐπαινεῖν, διὰ τὸ ἐνίων εὐθὺς προσπίπτειν τὴν ἀτοπίαν. ἐπεκτείνομεν δὲ τὴν χρείαν, ἐπειδὰν τὰς ἐν αὐτῇ ἐρωτήσεις τε καὶ ἀποκρίσεις, καὶ εἰ πρᾶξίς τις ἢ πάθος ἐνυπάρχῃ, μηκύνοιμεν. συστέλλομεν δὲ, τὸ ἐναντίον ποιοῦντες· οἷον, σύντομος μὲν χρεία, ἐπαμεινώνδας ἄτεκνος ἀποθνήσκων, ἔλεγε τοῖς φίλοις, δύο θυγατέρας ἀπέλιπον, τήν τε περὶ λεῦκτραν νίκην, καὶ τὴν περὶ μαντίνειαν. ἐκτείνομεν δὲ οὕτως· ἐπαμεινώνδας ὁ τῶν θηβαίων στρατηγὸς, ἦν μὲν ἄρα καὶ παρὰ τὴν εἰρήνην ἀνὴρ ἀγαθὸς, συστάντος δὲ τῇ πατρίδι πολέμου πρὸς λακεδαιμονίους, πολλὰ καὶ λαμπρὰ ἔργα τῆς μεγαλοψυχίας ἐπεδείξατο, βοιωταρχῶν μὲν περὶ λεῦκτρα, ἐνίκα τοὺς πολεμίους, στρατευόμενος δὲ ὑπὲρ τῆς πατρίδος, καὶ ἀγωνιζόμενος, ἀπέθανεν ἐν μαντινείᾳ. ἐπεὶ δὲ τρωθεὶς ἐτελεύτα τὸν βίον, ὀλοφυρομένων τῶν φίλων τά τε ἄλλα, καὶ διότι ἄτεκνος ἀποθνήσκοι,

θνήσκει, μεν διάσας, παύσασθε ὦ φίλοι κλαί-
οντες, ἐγὼ γὰρ ὑμῖν ἀθανάτους δύο καταλέλοι-
πα θυγατέρας, δύο νίκας τῆς πατρίδος, τὴν λα-
κεδαιμονίων, τὴν μὲν ἐν λεύκτροις, τὴν πρεσβυτέ-
ραν, νεωτέραν δὲ, τὴν ἄρτι μοι γενομένην ἐν μαντι-
νείᾳ. ἀνασκευαστέον δὲ ἔτι τὰς χρείας, ἐκ τοῦ ἀσα-
φοῦς, ἐκ τοῦ πλεονάζοντος, ἐκ τοῦ ἐλλείποντος,
ἐκ τοῦ ἀδυνάτου, ἐκ τοῦ ἀπιθάνου, ἐκ τοῦ ψευ-
δοῦς, ἐκ τοῦ ἀσυμφόρου, ἐκ τοῦ ἀχρήστου, ἐκ τοῦ
αἰσχροῦ. ἐκ μὲν τοῦ ἀσαφοῦς, ὡς εἰ λέγοιμεν τὸν
Ἰσοκράτην μὴ σαφῶς διωρικέναι, ὧν δεῖται
πρὸς ῥητορείαν τὸ συνιστάμενον αὐτῷ παι-
δίον. ὁμοίως δὲ ἔχει, καὶ ἡ Διδύμου τοῦ αὐλητοῦ.
οὐ γὰρ ἅπασιν σαφές ἐστι, τὸ ἐκ τοῦ ὀνόματος
ἐκρεμάσθη. ἐκ δὲ τοῦ πλεονάζοντος, ἐπειδὰν
λέγηταί τι, οὗ ἀφαιρεθέντος, οὐδὲν ἧττον δια-
μένει ἡ χρεία· οἷον, σωκράτης ὁ φιλόσοφος ἐ-
ρωτηθεὶς, εἰ εὐδαίμων αὐτῷ δοκεῖ ὁ περσῶν
βασιλεὺς; οὐκ ἔχω λέγειν, ἔφη. μὴ γὰρ εἰδέναι
πῶς ἔχει παιδείας. ἐπλεόνασε γὰρ, οὐ μόνον
πρὸς τὴν ἐρώτησιν ἀποκρινόμενος, ἀλλὰ καὶ
τὴν ἀποκρίσεως αἰτίαν εἰπών. οὐκ ἀναμείνας,
ἅπερ ἄρα ἐπανερωτήσει, ὅπερ οὐκ ἦν κατὰ
σωκράτην, ἄνδρα διαλεκτικὸν ὄντα. ἐκ δὲ τοῦ
ἐλλείποντος, ὅταν δείκνυμεν μὴ καλῶς φαι-

μένον τὸν Δημοσθένην, ὑπόκεισιν εἶναι τὴν ῥητορι-
κήν· πολλῶν γὰρ καὶ ἄλλων εἰς αὐτὴν δεόμε-
θα. ἐκ δὲ τοῦ ἀδυνάτου, ὡς ἂν φαῖμεν πρὸς τὸν
Ἰσοκράτην, μὴ δυνατὸν ἐκ θεῶν ἀνθρώπους
γενέσθαι, μὴ δ᾽ ἂν εὐφυεῖς ὦσιν. ἐκ δὲ τοῦ ἀπι-
θάνου, ὅτι μὴ εἰκός ἐστιν Ἀντισθένην Ἀττικόν γε
ὄντα παραγγνόμενον Ἀθήνηθεν εἰς Λακεδαίμο-
να, ἐκ τῆς γυναικωνίτιδος λέγειν, εἰς τὴν ἀν-
δρωνῖτιν ὑπιέναι. ἐκ δὲ τοῦ ψεύδους, ὅτι μὴ ἀ-
ληθῶς ὁ Βίων ἔλεγε, τὴν φιλαργυρίαν μητρό-
πολιν εἶναι τῆς κακίας. μᾶλλον γὰρ ἀφροσύνη
ἐστίν. ἐκ δὲ τοῦ ἀσυμφόρου, ὅτι βλαβερῶς πα-
ραινεῖ Σιμωνίδης παίζειν ἐν τῷ βίῳ, καὶ περὶ
μηδὲν ἁπλῶς σπουδάζειν. ἐκ δὲ τοῦ ἀχρήστου, ὅ-
σον εἰ φαίνοιτο πρὸς οὐδὲν ὠφέλιμον τὸ ῥηθὲν
τῷ βίῳ. ἐκ δὲ τοῦ αἰσχροῦ, ὁπόταν αἰσχρὰν καὶ
ἐπονείδιστον ἀποφαίνωμεν τὴν χρείαν· οἷον, ἀ-
νὴρ Συβαρίτης ἰδὼν Λακεδαιμονίους ἐπιπό-
νως ζῶντας, οὐ θαυμάζειν ἔφησεν, ὅτι ἐν τοῖς
πολέμοις οὐκ ὀκνοῦσιν ἀποθνήσκειν· ἄμεινον
γὰρ εἶναι τὸν θάνατον, τοῦ τοιούτου βίου. πάνυ
γὰρ μαλακῶς, καὶ οὐκ ἀνδρείου τρόπου
τὴν ἀπόφασιν ἐποιήσατο. ἐκ μὲν οὖν τού-
των ἀνασκευαστέον. πρὸς ἕκαστον δὲ μέρος τῆς
χρείας ἀρξάμενον, ἀπὸ τῶν πρώτων ἐπιχει-
ρεῖν δεῖ.

ρεῖν δεῖ, ἐξ ὅσων τρόπων ἐὰν δυνατὸν ᾖ. μὴ λανθανέτω γὰρ ἡμᾶς, ὅτι οὐχ οἷόν τέ ἐστιν ἐν πάσαις, ἐκ πάντων ἐπιχειρεῖν. τὴν μέντοι τάξιν τῶν ἐπιχειρημάτων ποιησόμεθα, καθὰ καὶ τῶν τόπων ἐκτιθέμεθα. οἱ αὐτοὶ δ' ἂν εἶεν καὶ πρὸς τὴν τῶν γνωμῶν ἀνασκευήν τε καὶ κατασκευήν. τοῖς δὲ ἤδη τελειοτέροις, προσήκει τὰς ἀφορμὰς λαμβάνειν, καὶ ἐκ τῶν πρὸς τὰς θέσεις ἡμῖν πραχθησομένων. χρὴ δὲ τὸ προοίμιον μὴ τοιοῦτον εἶναι, ὥστε ἐφαρμόττειν ἑτέραις χρείαις, ἀλλ' ἴδιον τῆς ὑποκειμένης. τοῦτο δ' ἂν καλῶς γένοιτο, ἐπί τε χρείας, καὶ μύθου, καὶ τῶν ἄλλων ἁπάντων, ὅταν ἐξ ἑνὸς ἢ δύο τῶν ἀνωτάτω μερῶν τὰς ἀφορμὰς τῶν προοιμίων λαμβάνωμεν. μετὰ δὲ τὸ προοίμιον, αὐτήν τε τὴν χρείαν ἐκθετέον, εἶτα ἑξῆς τὰς ἐπιχειρήσεις. χρηστέον ἐνταῦθα καὶ αὐξήσεσι, καὶ παρεκβάσεσι, καὶ ἤθεσιν, οἷς δυνατόν ἐστιν.

ΠΕΡΙ ΑΝΑΣΚΕΥΗΣ, καὶ κατασκευῆς.



ΕΡΙ δὲ ἀνασκευῆς καὶ κατασκευῆς, εἴπομεν ὅτι οἱ αὐτοὶ τόποι χρήσιμοι, οἵπερ καὶ πρὸς τοὺς μύθους. ἐν δὲ τοῖς διηγήμασι, καὶ οἱ παρὰ τὸ ψευδὲς καὶ ἀδύνατα

τόποι

τόποι ἁρμόττουσιν, ὅπερ ποιεῖ Θουκυδίδης μὲν, ἀνασκευάζων, τὸ μὴ τύραννον ὄντα Ἵππαρχον, ὑπὸ τῶν περὶ τὸν Ἁρμόδιον καὶ Ἀριστογείτονα ἀναιρεθῆναι. Ἡρόδοτος δὲ ἐναντιούμενος τοῖς ἀποφαινομένοις, Αἰγύπτιον εἶναι μητρόθεν τὸν Καμβύσην. οὐκ ἀεὶ μὲν οὖν οἷόν τε, ἐκ πάντων τῶν τρόπων ἐν τοῖς διηγήμασιν ἐπιχειρεῖν. ἐὰν δέ ποτε ἐγγένηται, ταύτῃ τῇ τάξει χρησόμεθα· πρῶτον μὲν ἀπὸ τοῦ ἀσαφοῦς, καθ᾽ ὅσους τρόπους περὶ σαφηνείας εἴπομεν. δεύτερον δὲ, ἀπὸ τοῦ ἀδυνάτου ἐπιχειρήσομεν, δεικνύντες ὅτι ἀδύνατον τὸ πρᾶγμα οὕτω γενέσθαι, ὡς φησὶν ὁ συγγραφεύς, ἤτοι διὰ τὸ μηδόλως πεφυκέναι γίνεσθαι, ἢ διὰ τὸ μὴ κατὰ τὸν αὐτὸν χρόνον εἶναι τὰ ἱστορούμενα. οἷον, πρὸς τοὺς λέγοντας, ὅτι Ἡρακλῆς ἀπέκτεινε Βύσιριν. κατὰ γὰρ Ἡσίοδον, πρεσβύτερος Ἡρακλέους ὁ Βούσιρις, ἕνδεκα γενεαῖς. καὶ ὅλως πρὸς τὰ πολλὰ τῶν τοιούτων ἀφορμὰς ἕξομεν λόγων, ἐκ τῶν ἀρίστων ἐλέγχων. ἔπειτα δὲ καὶ εἰ δυνατὸν ὑποθοίμεθα τὸ πρᾶγμα, λεκτέον ὅτι ἀπίθανόν ἐστιν. εἰ δὲ ἀληθὲς φανείη, ἑξῆς ζητήσομεν, εἰ ἐλλείπει τι, ἢ πλεονάζει. ἔπειτα δὲ, ὅτι μάχεται κατὰ τὴν διήγησιν αὐτὸς ἑαυτῷ ὁ συγγραφεύς. πρὸς δὲ τούτοις μεμ-

ψοίμεθα καὶ τὴν τάξιν τῶν κεφαλαίων, εἰ μὴ προσηκόντως εἴη γεγενημένη. εἰ δὲ ταῦτα πάντα κατὰ τρόπον εἴη διατεθειμένα, ἀλλ' ὡς ἀπρεπές τε, καὶ ἀσύμφορον λεκτέον. ἔστι γὰρ τῶν πραγμάτων, ἃ πραχθῆναι μὲν οὐκ ἔχρην, φθάσαντα δὲ πραχθῆναι, σιωπᾶσθαι συμφέρει· οἷον, εἴ τις τὸν λοκρὸν αἴαντα τοιαῦτα εἰπὼν εἰς τὴν ἀθηνᾶν ἀσεβῆσαι, οἷα λέγεται, ἔπειτα ὑπόθοιτο μήτε ἐν τῇ θαλάττῃ, μήτε οἴκοι, κακόν τι αὐτὸν πεπονθότα, ἐν γήρᾳ μετ' εὐδαιμονίας τετελευτηκέναι. ῥᾳδίως δὲ καὶ πλειόνων εὐπορήσομεν ἐπιχειρημάτων, ἐὰν καθ' ἕκαστον τῶν παραδεδομένων τόπων ἐπιχειροῦντες, χρώμεθα καὶ τοῖς καλουμένοις στοιχείοις, ἐξ ὧν ἅπασα πρᾶξις ὑφίσταται. ἔστι δὲ ταῦτα, ἐξ ὧν προείπομεν· πρόσωπον, πρᾶγμα, τρόπος, χρόνος, τόπος, αἰτία. παραδείγματος δὲ ἕνεκα, ὁ λόγος ἡμῖν ἔστω ἐφ' ἑνὸς τόπου τοῦ ἀπιθάνου. ἐὰν τοίνυν ἀνασκευάζωμεν τὴν διήγησιν ἐκ τοῦ ἀπιθάνου, οὕτως ἐπεξελευσόμεθα, δεικνύντες ὅτι καὶ τὸ πρόσωπον ἀπίθανόν ἐστι, καὶ τὸ πραχθὲν, καὶ ὁ τόπος, ἐν ᾧ ἡ πρᾶξις. ὁμοίως δὲ καὶ ὁ χρόνος, καὶ ὁ τρόπος, καὶ ἡ αἰτία τῆς πράξεως· οἷον ἐπὶ τῆς μηδείας. ἐκ μὲν τοῦ προσώπου, ὅτι ἀπίθανόν ἐστι μητέρα

κακῶς

κακῶς ποιῆσαι τέκνα. ἐκ δὲ τῆς πράξεως, ὅτι οὐκ εἰκός ἐστιν ἐκπρᾶξαι. ἐκ δὲ τοῦ τόπου, ὅτι οὐκ ἂν ἀπέκτεινεν ἐν Κορίνθῳ, ὅπου διέτριβεν Ἰάσων ὁ τῶν παίδων πατήρ. ἐκ δὲ τοῦ χρόνου, ὅτι ἀπίθανόν ἐστιν ἐν τούτῳ τῷ χρόνῳ, ἐν ᾧ αὐτὴ μὲν ἐταπείνωτο, τοῦ ἀνδρὸς ἐκπεσοῦσα ξένη γυνή, ὁ δὲ Ἰάσων μείζω δύναμιν προσειλήφει, γήμας Γλαύκην τὴν Κρέοντος τοῦ βασιλέως τῶν τόπων θυγατέρα. ἐκ δὲ τοῦ τρόπου, ὅτι ἐπειράθη ἂν λαθεῖν, καὶ οὐκ ἂν ξίφει διεχρήσατο, ἀλλὰ φαρμάκῳ, ἄλλως τε, καὶ φαρμακὶς οὖσα. ἐκ δὲ τῆς αἰτίας, ὅτι ἀπίθανόν ἐστι διὰ ὀργὴν τὴν πρὸς τὸν ἄνδρα, ἀποκτεῖναι τὰ τέκνα. οὐ γὰρ ἴδιον τοῦ Ἰάσονος, ἀλλὰ καὶ αὐτῆς κοινὸν ἐγίνετο τὸ ἀτύχημα, καὶ μᾶλλον αὐτῆς, ὅσῳ μαλακώτεραί πως αἱ γυναῖκες πρὸς τὰ πάθη. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων τόπων ἐφοδεύσομεν, κατὰ τὰ ἑξῆς στοιχεῖα ἐπιχειροῦντες, ἐξ ὧν ἂν δυνατὸν ᾖ. ἐκ δὲ τῶν ἐναντίων τόπων κατασκευάσομεν. οἱ δ' αὐτοὶ οὗτοι ἁρμόττουσι καὶ πρὸς τὰς μυθικὰς διηγήσεις, τάς τε ὑπὸ τῶν ποιητῶν, καὶ τὰς ὑπὸ τῶν ἱστορικῶν λεγομένας, περί τε θεῶν καὶ ἡρώων ἔτι τε, καὶ τῶν ἐξηλλαγμένων κατὰ φύσιν, οἷά τινες ἱστοροῦσι περὶ Πηγάσου, καὶ Ἐριχθονίου, καὶ χιμαίρας, καὶ ἱπποκενταύρων, καὶ τῶν

παραπλησίων. τὸ δὲ μὴ μόνον ἀνασκευάζειν τὰς τοιαύτας μυθολογίας, ἀλλὰ καὶ ὅθεν παρεῤῥύηκεν ὁ τοιοῦτος λόγος ἀποφαίνειν, τελειοτέρας δεῖν ἕξεως, ἢ κατὰ τοὺς πολλούς. ὅπερ πεποίηκεν Ἡρόδοτος μὲν, ἐν τῇ δευτέρᾳ τῶν περὶ πελειάδων διηγούμενος, ὡς διέστησαν αἰγύπτου, καὶ ἡ μὲν εἰς Δωδώνην, ἡ δὲ εἰς ἄμμωνος ἀφίκετο. ἐξηγούμενός τε τὸ μυθολόγημα φησὶν, ὅτι παρθένοι τινὲς ἐκ Θηβῶν τῶν αἰγυπτίων ἦσαν ἱέρειαι, ὧν ἡ μὲν εἰς Δωδώνην ἐπράθη, ἡ δὲ εἰς ἄμμωνος. καὶ ἐπειδὴ βαρβαρισὶ ἐφθέγγοντο, καὶ ἀξυνέτως τοῖς ἐπιχωρίοις, λόγος κατέσχεν, ὡς ὄρνιθες ἦσαν. Πλάτων δὲ ἐν τῷ Φαίδρῳ, τὸ περὶ τῆς ὠρειθύας καὶ τοῦ Βορέου διήγημα οὐκ ἀποδεχόμενος, φησὶν τὴν ὠρειθύαν, πνεῦμα Βορέου κατὰ τῶν πλησίον πετρῶν σὺν φαρμακείᾳ παίζουσαν ὦσαι, καὶ οὕτω δὴ λεχθῆναι ὑπὸ τοῦ Βορέου ἀνάρπαστον γεγονέναι. καὶ μέν τοι καὶ Ἔφορος ἐν τῇ τετάρτῃ χρῆται τούτῳ τῷ τρόπῳ· ὅτι ἄρα Τιτυὸς μὲν ἦν Πανοπέως δυνάστης, ἀνὴρ παράνομος καὶ βίαιος, Πύθων δὲ θηριώδης τὴν φύσιν, δράκων ἐπικαλούμενος. οἱ δὲ περὶ τὴν πάλαι μὲν Φλέγραν, νῦν δὲ Παλλήνην ὀνομαζομένην κατοικοῦντες, ἦσαν ἄνθρωποι ὠμοί, καὶ ἱερό-

συλοι,

συλοι, καὶ ἀνθρωποφάγοι, οἱ καλούμενοι γίγαντες, οὓς ἡρακλῆς λέγεται χειρώσασθαι τὴν τροίαν ἑλών. καὶ διὰ τὸ κρατῆσαι τοὺς περὶ τὸν ἡρακλέα ὀλίγους ὄντας, τῶν γιγάντων πολλῶν ὄντων, καὶ ἀσεβῶν, θεῶν ἔργον ἅπασιν ἐδόκει γεγονέναι τὸ περὶ τὴν μάχην. καὶ ὅσα ἄλλα τοιαῦτα ἐπιλύεται, περὶ τοῦ λυκούργου, καὶ μίνωος, καὶ ῥαδαμάνθυος, καὶ διός, καὶ κουρήτων, καὶ τῶν ἄλλων τῶν ἐν τῇ κρήτῃ μυθολογουμένων· καὶ παλαιφάτῳ γὰρ περιπατητικῷ ἐστιν ὅλον βιβλίον, περὶ τῶν ἀπίστων ἐπιγραφόμενον, ἐν ᾧ τὰ τοιαῦτα ἐπιλύεται, οἷον, ὅτι κένταυροι μὲν ὑπελήφθησαν, οἱ πρῶτοι ἐπὶ ἵπποις ὀχούμενοι ὀφθέντες. διομήδης δὲ θρᾷξ, εἰς ἱπποτροφίαν ἐξαναλωθείς, ἐλέχθη ὑπὸ τῶν αὐτοῦ ἵππων ἀπολωλέναι. κατὰ δὲ τὸν αὐτὸν λόγον, καὶ ἀκταίων ὑπὸ τῶν κυνῶν. ἡ δὲ μήδεια βάπτουσα τὰς ἐπὶ τῆς κεφαλῆς τῶν ἀνθρώπων πολιάς, καὶ μελαίνας ποιοῦσα, ἐφημίσθη, τοὺς γέροντας εἰς λέβητα κατακόπτουσα, νέους ποιεῖν. καὶ τὰ παραπλήσια τούτοις.

ΠΕΡΙ ΤΟΠΟΥ.



ΟΠΟΣ ἐστὶ λόγος αὐξητικὸς ὁμολογουμένου πράγματος, ἤτοι ἁμαρτήματος, ἢ ἀνδραγαθήματος. ἔστι γὰρ διττὸς ὁ τόπος. ὁ μέν τις, κατὰ τῶν πεπονηρευμένων, οἷον κατὰ τυράννου, κατὰ προδότου, ἀνδροφόνου, ἀσώτου. ὁ δέ τις ὑπὲρ τῶν χρηστόν τι διαπεπραγμένων· οἷον, ὑπὲρ τυραννοκτόνου, ἀριστέως, νομοθέτου. τῶν δὲ τόπων, οἱ μέν εἰσιν ἁπλοῖ, οἱ δὲ οὐχ ἁπλοῖ. ἁπλοῖ μὲν, οἱ προειρημένοι· οὐχ ἁπλοῖ δὲ, οἱ κατὰ στρατηγοῦ προδότου, κατὰ ἱερέως ἱεροσύλου, κατὰ τοῦ ὑβείσαντος ἐν ἑορτῇ, ἢ ἱερῷ, ἢ ὑπὲρ γυναικὸς τυραννοκτόνου. τόπος δὲ εἴρηται, ὅτι ἀπ᾽ αὐτοῦ ὁρμώμενοι, οἷον ἐκ τόπου, ῥᾳδίως ἐπιχειροῦμεν κατὰ τῶν ὁμολογούντων ἀδικεῖν. διόπερ τινὲς καὶ ἀφορμὴν ἐπιχειρημάτων αὐτὸν ὡρίσαντο. ἡ μὲν γὰρ τοῦ ὑβειστοῦ κατηγορία, κοινὴ καὶ ἀναμφίσβητος, καὶ τόπος καλεῖται. ἐξ αὐτῆς δὲ ὁρμώμενοι, οἷον ἐκ τόπου, ῥᾳδίως καὶ κατὰ κόνωνος, καὶ κατὰ μειδίου λόγων εὐποροῦμεν. διαφέρει δὲ τῶν ἐγκωμίων, καὶ τῶν ψόγων. ὅτι ἐκεῖνα μὲν περὶ ὡρισμένων προσώπων, καὶ μετὰ ἀποδείξεως λέγεται· οἷον ἰσοκράτους, τὸ

ἑλένης

ἑλένης ἐγκώμιον, καὶ εἴ που τις εὐρυβάτου ψόγος. οἱ δὲ τόποι, περὶ μόνων ἁπλῶν εἰσι τῶν πραγμάτων, καὶ χωρὶς ἀποδείξεως. καὶ ὅτι γὰρ μετὰ τοῖς ἐγκωμίοις καὶ ψόγοις, φροντιστέον καὶ προοιμίων· ἐπὶ δὲ τοῦ τόπου, ἐπίνοια τοιαύτη τις εἶναι βούλεται, ὥστε ἀποκοπὴν εἶναι δοκεῖν, καὶ μέρος λόγου ἑτέρου προειρημένου, καὶ οἷον ἐπίλογόν τινα μετ' ὄγκου τῶν ἤδη προαποδεδειγμένων. διόπερ καὶ οὕτως ἀρκτέον αὐτοῦ, καθάπερ ἤδη προειρημένων ἑτέρων, ὡς παρ' Αἰσχίνῃ· μὴ γὰρ οἴεσθε, ὦ ἄνδρες ἀθηναῖοι, τὰς τῶν ἀτυχημάτων ἀρχὰς ἀπὸ θεῶν, ἀλλὰ καὶ ἀνθρώπων ἀσελγείας γίνεσθαι. καὶ παρὰ Δημοσθένει· ἄνθρωποι μιαροὶ, καὶ κόλακες, καὶ ἀλάστορες, ἠκρωτηριασμένοι τὰς ἑαυτῶν ἕκαστος πατρίδας, τὴν ἐλευθερίαν προπεπωκότες, πρότερον μὲν Φιλίππῳ, νῦν δὲ ἀλεξάνδρῳ, τῇ γαστρὶ μετροῦντες, καὶ τοῖς αἰσχίστοις τὴν εὐδαιμονίαν. καὶ ἔτι· νόσημα γὰρ, ὦ ἄνδρες ἀθηναῖοι, δεινὸν ἐμπέπτωκεν εἰς τὴν ἑλλάδα, καὶ χαλεπὸν, καὶ πολλῆς εὐτυχίας τινὸς, καὶ τῆς παρ' ὑμῶν ἐπιμελείας δεόμενον. ἤδη δὲ καὶ προοιμίων πολλοὶ φροντίζουσι, καὶ αὐτὸ τὸ πρᾶγμα ἐκτίθενται, ὥσπερ διηγούμενοι, ἐπὶ πᾶσι δὲ τὰς

αὐξήσεις ἐπιφέρουσιν. οἱ δὲ τοιοῦτοι, τάχα ἂν καὶ οὕτως ὠφελοῖντο. διαφθείρουσι μέντοι τὴν ἰδιότητα τοῦ γυμνάσματος. ἐπιχειρεῖν δὲ δεῖ, ἐκ τῆς προαιρέσεως τῶν δεδρακότων, καὶ τοῦ μεγέθους τῶν ἔργων ὧν διαπράττονται, ἔκ τε ὧν ἕτεροι πάσχουσι δι' αὐτούς, καὶ ἔτι ἐξ ὧν αὐτοὶ μεταλαμβάνουσιν. ἐὰν δὲ ὥσπερ ἐν δίκῃ ἐθέλωμεν καὶ προοιμίῳ, καὶ διηγήματι χρῆσθαι, μετὰ τὸ προοίμιον καὶ τὴν τοῦ ἀδικήματος ἀπαγγελίαν, ληψόμεθα τὰς ἐπιχειρήσεις· πρῶτον μὲν, ἀπὸ τῆς διανοίας τοῦ δεδρακότος, ὅτι πονηρά. δεύτερον δὲ ἀπὸ τοῦ πράγματος, περὶ οὗ τὸ ἀδίκημα, ὅτι τῶν ἀναγκαιοτάτων ἐστίν. οἷον, ὅτι κλέπτης περὶ τὰ χρήματα ἐπιβουλεύει, ἅπερ εἰσὶν ἀναγκαιότατα πᾶσι. καὶ τούτων ἕνεκα, καὶ γεωργοῦμεν, καὶ πλέομεν, καὶ πάνθ' ἁπλῶς κατὰ τὸν βίον πράττομεν, ἵν' ἔχωμεν χρήματα, ἐξ ὧν ζῆν δυνησόμεθα. μετὰ δὲ ταῦτα ἀπὸ τῆς περιοχῆς, ὅτι τῷ μὲν ὀνόματι, ἓν τὸ ἀδίκημά ἐστι, τῇ δὲ ἀληθείᾳ, πολλὰ περιέχει ἐν αὐτῷ ἀδικήματα· οἷον, ἡ μοιχεία, καὶ βίαν καὶ κλοπὴν, καὶ νοθείαν, καὶ μυρία ἄλλα περιέχει. ἔπειτα δὲ ἀπὸ τῆς συγκρίσεως· αὕτη δὲ τριπλῆ. τὸ γὰρ κατηγορούμενον ὑφ' ἡμῶν, ἢ μείζονι ἑαυτοῦ συγκρίνομεν, ἢ ἐλάττονι, ἢ ἴσῳ. ὅ-

ὅταν μὲν οὖν μείζονι συγκρίνωμεν, αὔξοντες τὸ ἔλαττον, ἴσον ἐκείνῳ ἀποφανοῦμεν· οἷον, ὅτι κλέπτης τῷ ἱεροσύλῳ τὰ ἴσα ἀδικεῖ. μιᾷ γὰρ ἀμφότεροι χρῶνται τῇ περὶ τὸ κλέπτειν ἐπιθυμίᾳ. καὶ οὔθ' ὁ κλέπτης εἰ καιροῦ λάβοιτο, ὀκνήσειν ἱεροσυλεῖν, οὔθ' ὁ ἱερόσυλος κλέπτειν. ὅταν δὲ ἐλάττονι συγκρίνωμεν, οὕτως ἐροῦμεν· εἰ ὁ κλέπτης ἀνθρώπων χρήματα ἀφαιρούμενος κολάζεται, πόσῳ μᾶλλον οὗτος κολασθήσεται, ὁ τὰ τῶν θεῶν συλῶν; ὅταν δὲ ἴσον ἴσῳ παραβάλλωμεν, φήσομεν, ὅτι εἰ τὸν τὰ ἴσα ἡμαρτηκότα ἀθῷον οὐκ ἐῶμεν, οὐδὲ τοῦτον ἄξιον περιορᾶν. εἶτα ἀπὸ τῶν ἐναντίων· εἰ γὰρ ἀριστεὺς τιμῶν ἄξιος, κολάσεως ὁ προδότης. ἑξῆς δὲ ἀπὸ τῶν πρὸ τοῦ πράγματος· οἷον, τὸ κατὰ τοῦ ἱεροσύλου, ὅτι πρὸ τῶν εἰς τοὺς θεοὺς ἀσεβημάτων, εἰκός ἐστι τὸν ἱερόσυλον, πολλὰ εἰς τοὺς ἀνθρώπους τετολμηκέναι, πολλὰ δὲ εἰς τοὺς κατοιχομένους. ἐκλελοιπέναι τε τὰ πολλὰ τῶν νενομισμένων ἐπὶ τιμῇ θεῶν· οἷον, ἑορτάς, θυσίας, εὐχάς, ἔτι τε ἐπιορκηκέναι πολλάκις, καὶ τὰ παραπλήσια. εἶτα ἀπὸ τῆς ἐκβάσεως, καὶ τῶν μετὰ τὸ πρᾶγμα· οἷον, ἱεροσυλίας γενομένης, τὰ μὲν ἱερὰ ἀκόσμητα διαμένει, ὁ δὲ ἱερόσυλος εἰς τὰς ἡδονὰς καταναλίσκει τὰ συλη-

θέντα. καὶ ὅτι διὰ τὰς τοιαύτας ἁμαρτίας ἐπιγίνεται ταῖς πόλεσι καὶ θεῶν μηνίματα, λοιμοί, καὶ λιμοί, στρατοπέδων ὄλεθροι, καὶ πάντα τὰ τοιαῦτα. ἑξῆς δὲ ἀπὸ τοῦ ἀνηκέστου· οἷον, ἀνεπανόρθωτον εἶναι τὸ πραχθέν. εἶτα ἐκ τῆς κρίσεως, ἤτοι νομοθετῶν, ἢ ποιητῶν, σοφῶν ἀνδρῶν γνώμας λέγοντες· οἷον, ὅτι καὶ τούτοις πονηρὸν εἶναι δοκεῖ τὸ πραχθέν, καὶ κολάσεως ἄξιον. ἐφ᾽ ἅπασι δὲ, τὴν διατύπωσιν ποιησόμεθα, ὅταν ἐνεργούμενον τὸ ἀδίκημα ἀπαγγέλλωμεν, καὶ τὸ πάθος τοῦ ἠδικημένου· οἷον, κατὰ ἀνδροφόνου. διαγράψομεν γὰρ, οἷος μὲν ἦν ὁ ἐργαζόμενος τὸν φόνον, ὡς ὠμῶς καὶ ἀνηλεῶς αὐτόχειρ γενόμενος, ἀνθρώπου ἄνθρωπος ὤν, καὶ τὸ ξίφος ἀνασπάμενος, καὶ τὴν πληγὴν καταφέρων, καὶ μὴ καιρίας εἰ τύχοι τῆς πληγῆς γενομένης, ἄλλας ἐπ᾽ ἄλλαις ποιούμενος, καὶ μιαινόμενος αἵματι τοῦ φονευομένου. οἵας δὲ κἀκεῖνος φωνὰς ἠφίει, τοτὲ μὲν τοῦ φονέως δεόμενος, τοτὲ δὲ βοηθοὺς ἐπικαλούμενος, νῦν μὲν ἀνθρώπους, νῦν δὲ τοὺς θεοὺς, καὶ ὅσα ἄλλα τοιαῦτα. ἐν δὲ τοῖς οὐχ ἁπλοῖς τόποις, ἔστι μὲν καὶ ἀπὸ τῶν προειρημένων ἐπιχειρεῖν. πλειόνων δὲ λόγων εὐπορήσομεν, διὰ τὸ προσκείμενον τοῖς ἁπλοῖς. ὁ γὰρ προδότης, καὶ καθ᾽

αὐτὸν μὲν ὀργῆς ἄξιος, πολὺ δὲ πλέον, ὅταν στρατηγὸς ᾖ. τὸ δὲ παρ' ἐλπίδα πραχθὲν, πολλὰς ἀφορμὰς λόγων παραδίδωσιν. ἡ μὲν τῶν ἁμαρτημάτων αὔξησις, ἐκ τούτων ἂν γένοιτο· τῶν δὲ ἐπαινετῶν, ἐκ τῶν ἐναντίων.

ΠΕΡΙ ΕΓΚΩΜΙΟΥ.



ΕΓΚΩΜΙΟΝ ἐστὶ, λόγος ἐμφανίζων μέγεθος τῶν κατ' ἀρετὴν πράξεων, καὶ τῶν ἄλλων ἀγαθῶν, περὶ ὡρισμένον πρόσωπον. τούτου δὲ, τὸ μὲν εἰς τοὺς ζῶντας, ἰδίως νῦν ἐγκώμιον καλεῖται· τὸ δὲ εἰς τοὺς τεθνεῶτας, ἐπιτάφιος λέγεται· τὸ δὲ εἰς τοὺς θεοὺς, ὕμνος. ἀλλ' εἴτε ζῶντας, εἴτε τελευτήσαντας, ἢ καὶ ἥρωας, καὶ θεοὺς τὶς ἐγκωμιάζοι, μία καὶ ἡ αὐτή ἐστι τῶν λόγων ἔφοδος. ἐγκώμιον δὲ λέγεται, παρὰ τοὺς παλαιοὺς, ἐν κώμῳ τινὶ, καὶ παιδιᾷ, τὰς εἰς θεοὺς εὐλογίας ποιεῖν. ἐπεὶ δὲ τὰ ἀγαθὰ μάλιστα ἐπαινεῖται, τῶν δὲ ἀγαθῶν τὰ μὲν περὶ ψυχήν τε καὶ ἦθος, τὰ δὲ περὶ σῶμα, τὰ δὲ ἔξωθεν ἡμῖν παράκειται, δηλονότι τὰ τρία ἂν εἴη ταῦτα, ἐξ ὧν εὐπορήσομεν ἐγκωμιάζειν. ἔστι δὲ τῶν ἔξωθεν, πρῶτον μὲν εὐγένεια

ἐγκώμιον ἐπιτάφιος ὕμνος περὶ ψυχ. περὶ σῶμ. τὰ ἔξωθ.

εὐγένεια ἀγαθόν, διττὴ δέ, ἡ μὲν πόλεως καὶ ἔθνους καὶ πολιτείας ἀγαθῆς, ἡ δὲ γονέων καὶ τῶν ἄλλων οἰκείων. ἔπειτα δέ, παιδεία, φιλία, δόξα, ἀρχή, πλοῦτος, εὐτεκνία, εὐθανασία. τοῦ σώματος ἐστὶν ὑγεία, ἰσχύς, κάλλος, εὐαισθησία. ψυχικὰ δὲ ἀγαθά, τὰ σπουδαῖα ἤθικά, καὶ τούτοις ἀκολουθοῦσαι πράξεις· οἷον, ὅτι φρόνιμος, ὅτι σώφρων, ὅτι ἀνδρεῖος, ὅτι δίκαιος, ὅτι ὅσιος, ὅτι ἐλεύθερος, καὶ ὅτι μεγαλόφρων, καὶ ὅσα τοιαῦτα. καλαὶ δὲ εἰσὶ πράξεις, καὶ αἱ μετὰ θάνατον ἐπαινούμεναι. τοὺς γὰρ ζῶντας εἰώθασι κολακεύειν, καὶ ἀνάπαλιν, αἱ ζώντων ἔτι ἡμῶν ἐγκωμιαζόμεναι, καὶ τὸν τῶν πολλῶν φθόνον ὑπερβαλλόμεναι. φθόνος γὰρ τοῖς ζῶσι (κατὰ Θουκυδίδην) πρὸς τὸ ἀντίπαλον. καὶ ἃς ἄλλων ἕνεκα, καὶ μὴ ἑαυτῶν πράττομεν. καὶ τοῦ καλοῦ χάριν, ἀλλὰ μὴ διὰ τὸ συμφέρον, ἢ τὸ ἡδύ. καὶ ἐφ᾽ ὧν ὁ μὲν πόνος ἴδιος, ἡ δὲ ὠφέλεια κοινή. καὶ δι᾽ ἃς οἱ πολλοὶ καὶ μεγάλα πάσχουσιν εὖ, καὶ τὰς χάριν εὐεργετῶν, καὶ μᾶλλον τετελευτηκότων. διόπερ ἐπαινοῦνται, καὶ αἱ πρὸς τῶν φίλων τιμωρίαι, καὶ κίνδυνοι. ἐπαινεταὶ δὲ εἰσὶν αἱ πράξεις, καὶ αἱ διὰ τὸν καιρόν, καὶ εἰ μόνος ἔπραξέ τις, ἢ πρῶτος, ἢ οὐδείς, ἢ μᾶλλον τῶν ἄλλων, ἢ

μετ' ὀλίγων, ἢ ὑπὲρ τὴν ἡλικίαν, ἢ παρὰ τὴν ἐλπίδα, ἢ μετὰ πόνων, ἢ ὅσα ῥᾶστα ἢ τάχιστα ἐπράχθησαν. δεῖ δὲ λαμβάνειν καὶ τὰς κρίσεις τῶν ἐνδόξων· καθάπερ οἱ ἐπαινοῦντες Ἑλένην, ὅτι Θησεὺς περὶ ἐκείνην ἦν. χρήσιμον δὲ καὶ τὸ εἰκάζειν, ἐκ τῶν παρεληλυθότων τὰ μέλλοντα. ὥστε εἴ τις λέγοι περὶ Ἀλεξάνδρου τοῦ Μακεδόνος, τί δ' ἂν ἔπραξε τηλικαῦτα, καὶ τοσαῦτα ἔθνη καταστρεψάμενος, εἰ μικρὸν ἔτι ἐπεβίω χρόνον; καὶ ὡς Θεόπομπος ἐν τῷ Φιλίππου ἐγκωμίῳ· ὅτι εἰ βουληθείη Φίλιππος τοῖς αὐτοῖς ἐπιτηδεύμασιν ἐμμεῖναι, καὶ τῆς Εὐρώπης πάσης βασιλεύσει. οὐκ ἄχρηστον δὲ καὶ τὸ μνημονεύειν τῶν ἤδη δεδοξασμένων, ἀντιπαραβάλλοντα δ' ἐκείνων τὰ ἔργα πρὸς τῶν ἐγκωμιαζομένων. χαίρειν δὲ δεῖν ἐνίοτε, ἀπὸ τῶν ὀνομάτων, καὶ τῆς ὁμωνυμίας, ἢ τῶν ἐπωνυμιῶν ἐγκωμιάζειν, ἐὰν μὴ πάνυ φορτικὸν καὶ καταγέλαστον ᾖ. καὶ ἀπὸ μὲν τῶν ὀνομάτων, Δημοσθένους ὅτι ἦν οἷον, ὅτι ἦν τὸ τοῦ δήμου σθένος. ἀπὸ δὲ τῆς ὁμωνυμίας, ὅταν τις τύχῃ τὸ αὐτὸ ὄνομα ἔχων ἀνδρὶ δεδοξασμένῳ. ἐκ δὲ τῶν ἐπωνυμιῶν, οἷον Περικλῆς Ὀλύμπιος, ἀπὸ τῆς ἐν τοῖς κατορθώμασι μεγαλειότητος ἐπικεκλημένος. οἱ μὲν οὖν τόποι ἐξ ὧν ἐπιχειρή-

σομεν, οἷοί εἰσι. χρησόμεθα δὲ αὖθις, τῷ αὐτῷ τρόπῳ. μετὰ τὸ προοίμιον, εὐθὺς περὶ εὐγενείας ἐροῦμεν, καὶ τῶν ἄλλων τῶν τε ἐκτὸς, καὶ περὶ σῶμα ἀγαθῶν· οὐχ ἁπλῶς, οὐδ᾽ ὡς ἔτυχε, τὸν λόγον διατιθέμενοι, ἀλλ᾽ ἐφ᾽ ἑκάστῳ δεικνῦντες, ὅτι μὴ ἀνοήτως, ἀλλὰ φρονίμως καὶ ὡς ἔδει αὐτοῖς ἐχρήσατο. ἥκιστα γὰρ ἐπαινοῦσι μὴ κατὰ προαίρεσιν, ἀλλ᾽ ἐκ τύχης ἃ ἔχουσιν ἀγαθά· οἷον, ὅτι εὐτυχῶν ἦν μέτριος καὶ φιλάνθρωπος, καὶ πρὸς τοὺς φίλους ὁ αὐτός, καὶ δίκαιος, καὶ τοῖς σώματος πλεονεκτήμασι σωφρόνως προσηνέχθη. εἰ δὲ μηδὲν τῶν προειρημένων ἀγαθῶν ἔχοι, λεκτέον ὅτι ἀτυχῶν ταπεινὸς οὐκ ἦν, οὐδὲ ϖενόμενος ἄδικος, οὐδὲ δεόμενος ἀνδραποδώδης. καὶ ὅτι ἐκ πόλεως ὢν μικρᾶς, λαμπρὸς ἐγένετο, καθάπερ ὀδυσσεύς τε καὶ δημόκριτος. καὶ ἐν ϖολιτείᾳ φαύλῃ τεθραμμένος, οὐ διεστράφη, ἀλλὰ τῶν καθ᾽ αὑτὸν ἄριστος ἐγένετο, ὥσπερ πλάτων ἐν ὀλιγαρχίᾳ. ἐπαινετός τε, καὶ εἴ τις ἐκ ταπεινῆς οἰκίας ὤν, μέγας ἐγένετο, ὥσπερ σωκράτης ὁ φαιναρέτης τῆς μαίας υἱός, καὶ σωφρονίσκου τοῦ ἑρμογλύφου. ἄξιον δὲ ἀγασθαι, καὶ τὸν ἐκ βαναύσου τέχνης, ἢ ϖονηρᾶς τύχης, ἀγαθὸν δυνηθέντα τι ἐργάσασθαι· ὁποῖον λέγουσιν, ἥρωνα μὲν

τὸν

τὸν σκυτοτόμον, λεόντιον δὲ τὴν ἑταίραν, φιλοσοφῆσαι. μάλιστα γὰρ ἐν τοῖς ἀτυχήμασιν ἐκλάμπει τῇ ἀρετῇ. μετὰ δὲ ταῦτα, τὰς πράξεις, καὶ τὰ κατορθώματα παραληψόμεθα, οὐκ ἐφεξῆς διηγούμενοι. λέγοντες γὰρ, ἄλλας προστίθεμεν κατὰ μίαν ἑκάστην ἀρετήν. ἔπειτα τὰ ἔργα διεξιόντες· οἷον, ὅτι τὴν σώφρων προλέγειν καὶ ἐπιφέρειν εὐθὺς, τί αὐτῷ σωφρονητικὸν ἔργον πέπρακται. ὁμοίως καὶ ἐπὶ τῶν ἄλλων ἀρετῶν. τὰς διαβολὰς, ἢ οὐ δεῖ λέγειν. ἀνάμνησις γὰρ γίνεται τῶν ἁμαρτημάτων. ἢ ὡς οἷόν τε λάθρα, καὶ ἀποκεκρυμμένως· μὴ λάθωμεν ἀπολογίαν ἀντ' ἐγκωμίου ποιήσαντες. ἀπολογεῖσθαι γὰρ προσήκει περὶ τῶν ἀδικεῖν αἰτίαν ἐχόντων. ἐπαινεῖν δὲ, τοὺς ἐπ' ἀγαθῷ τινὶ διαφέροντας. τὰ δὲ τῶν ἀψύχων ἐγκώμια, οἷον μέλιτος, ὑγείας, ἀρετῆς, καὶ τῶν παραπλησίων, ἀναλόγως ποιησόμεθα, ἀπὸ τῶν προειρημένων τόπων ἐπιχειροῦντες, ἐξ ὧν ἂν δυνατὸν ᾖ. ἐκ μὲν τούτων ἐπαινεσόμεθα, ψέξομεν δὲ ἐκ τῶν ἐναντίων.

ΠΕΡΙ ΣΥΓΚΡΙΣΕΩΣ.



ΥΓΚΡΙΣΙΣ ἐστι, λόγος τὸ βέλτιον, ἢ τὸ χεῖρον παριστάς. γίνονται δὲ συγκρίσεις προσώπων τε καὶ πραγμάτων. καὶ προσώπων μὲν, οἷον, Αἴαντος, Ὀδυσσέως· πραγμάτων δὲ, οἷον, σοφίας τε, καὶ ἀνδρείας. ἀλλ' ἐπειδὴ καὶ τῶν προσώπων θάτερον προκρίνομεν, εἰς τὰς πράξεις ἀποβλέποντες, καὶ εἴ τι ἄλλο περὶ αὐτῶν ἐστιν ἀγαθὸν, μία μέθοδος ἂν εἴη περὶ ἀμφοῖν. πρῶτον δὲ διωρίσθω, ὅτι αἱ συγκρίσεις γίνονται, οὐ τῶν μεγάλην πρὸς ἄλληλα διαφορὰν ἐχόντων (γελοῖος γὰρ ὁ ἀπορῶν, πότερος Ἀχιλλεὺς ἢ Θερσίτης) ἀλλ' ὑπὲρ τῶν ὁμοίων· καὶ περὶ ὧν ἀμφισβητοῦμεν, πότερον δεῖ προθέσθαι, διὰ τὸ μηδεμίαν ὁρᾶν, τοῦ ἑτέρου πρὸς τὸ ἕτερον ὑπεροχήν. ὅταν μὲν οὖν πρόσωπα συγκρίνωμεν, πρῶτον μὲν ἀντιπαραβαλοῦμεν τὴν εὐγένειαν, καὶ τὴν παιδείαν, καὶ τὴν εὐτεκνίαν, καὶ τὰς ἀρχὰς, καὶ τὴν δόξαν, καὶ τὴν τοῦ σώματος διάθεσιν, καὶ εἴ τι ἄλλο περί τε τὸ σῶμα, καὶ ἔξωθεν ἀγαθὸν, ἐν τοῖς περὶ ἐγκωμίων προείπομεν. μετὰ ταῦτα, τὰς πράξεις συγκρίνουμεν, προκρίνοντες τὰς καλλίους, καὶ τὰς ἀγαθῶν πλειόνων καὶ

νων καὶ μειζόνων αἰτίας, καὶ βεβαιοτέρας, καὶ τὰς πολυχρονιωτέρας, καὶ τὰς ἐν καιρῷ μᾶλλον πεπραγμένας, καὶ ὧν μὴ πραχθεισῶν μεγάλη βλάβη συμβαίνει. καὶ τὰς ἐκ προαιρέσεως μᾶλλον, τῶν διὰ ἀνάγκην ἢ τύχην. καὶ ἃς ὀλίγοι ἔπραξαν μᾶλλον, ἢ ἃς οὐδείς. τὰ γὰρ κοινὰ καὶ δημώδη, οὐ πάνυ ἐπαινετά. καὶ ἃς μετὰ πόνου ἐπράξαμεν μᾶλλον, ἢ ῥᾳδίως. καὶ ἃς εἰργασάμεθα μετὰ τὴν ἡλικίαν, καὶ τὴν δύναμιν μᾶλλον, ἢ τὰς ὅτε δυνατὸν ἐστι. τὰς δὲ διαβολάς, ἃς ἔφαμεν ἐν τῷ περὶ ἐγκωμίων, ἢ οὐδεῖ λέγειν, ἢ ὡς οἷόν τε τάχιστα. τὰς δὲ τοῦ ἐναντίου προσώπου, διασύρειν μᾶλλον, καὶ χλευάζειν προσήκει. τούτῳ γὰρ διοίσει σύγκρισις τῆς ὑποθέσεως. ἐν μὲν γὰρ τῇ ὑποθέσει, πρὸς τῷ τὰ οἰκεῖα λέγειν κατορθώματα, καὶ εἴ τι πέπρακται τοῖς ἀντιδίκοις ἁμάρτημα, ἐπαίρομεν. ἡ δὲ σύγκρισις, μόνην ἁπλῶς τῶν κατορθωμάτων τὴν ὑπεροχὴν ζητεῖν ἐπαγγέλλεται. ὅταν δὲ πράγματα συγκρίνωμεν, γελοῖον μὲν ἴσως ἐνταῦθα δόξει, συγγένειαν, ἢ τι τοιοῦτον ζητεῖν. οὐδὲν δὲ κωλύει κατὰ ἀναλογίαν τοῖς τοιούτοις ἐπισκοπεῖν· οἷον, ἃ τοὺς εὑρετὰς αὐτῶν, ἢ τὴν φύσιν, ἢ τὴν χώραν, ἐν αἷς πεφύκασιν. καθὰ εἴ τις φαίη τὴν

 ὑγείαν,

εἰ δ᾽ εὐτελῶν σεμνῶς, μήτε περὶ δεινῶν ἐκλελυμένως, μήτε περὶ αἰσχρῶν θρασέως, μήτε περὶ ἐλεεινῶν περιττῶς, ἀλλὰ τὸ πρέπον ἑκάστῳ τῶν πραγμάτων ἀποδιδῶμεν, στοχαζόμενοι ἅμα καὶ τοῦ ἁρμόττοντος περί τε προσώπῳ, καὶ τῷ τρόπῳ, καὶ περὶ χρόνῳ, καὶ τῇ τύχῃ, καὶ ἑκάστῳ τῶν προειρημένων. ἐπεὶ οὖν ποικίλη ἐστὶν ἡ τῶν προσώπων διαφορά, καὶ τῶν πραγμάτων. ἢ γὰρ αἰτούμεθά τι, ἢ προτρέπομεν, ἢ παρηγοροῦμεν, ἢ συγγνώμην αἰτοῦμεν ἐφ᾽ οἷς ἐπράξαμεν, ἢ ἄλλο τι τῶν τοιούτων, ἀναγκαῖόν ἐστι, καὶ καθ᾽ ἕκαστον τούτων ἀφορμὰς οἰκείας εἰπεῖν. προτρέποντες μὲν οὖν ἐροῦμεν, ὅτι ἐφ᾽ ὃ προτρέπομεν, καὶ δυνατὸν γενέσθαι, καὶ ῥᾴδιον, καὶ καλόν, καὶ πρέπον ἐστίν, ὅτι συμφέρον, ὅτι δίκαιον, ὅτι ὅσιον. διττὸν δὲ καὶ τοῦτο, ἢ πρὸς θεούς, ἢ πρὸς τετελευτηκότας. ὅτι ἡδύ, ὅτι μὴ μόνοι πράττομεν, μὴ δὲ πρῶτοι, ὅτι εἰ καὶ πρῶτοι, πολὺ κρεῖττον ἄρξασθαι καλῶν ἔργων, ὅτι μὴ μετάνοιαν φέρει πραχθέν. ὑπομνηστέον δέ, καὶ εἴ τι προϋπῆρκται ἀπὸ τοῦ προτρέποντος, εἰς τὸν προτρεπόμενον, καὶ εἰ ἄλλο τι πεισθεὶς ὠφελήθη. ὁ δ᾽ αὐτὸς τρόπος ἔσται τῆς ἐπιχειρήσεως, κἂν αἰτώμεθά τι. ἀποτρέποντες δέ, ἀπὸ τῶν ἐναντίων ἐπιχειρήσομεν, καὶ οὕτω χρησόμεθα

μεθα

μεθα δὲ τοῖς λόγοις, ὅτι ἀναγκαῖον, καὶ πάντων κοι-
νὸν τὸ γεγενημένον, καὶ ἀκούσιον. ἥκιστα γὰρ
οἱ νοῦν ἔχοντες, ἐπὶ τοῖς ἀκουσίοις λυποῦνται.
ἐὰν δὲ ἑκούσιον ᾖ ῥητέον, ὅτι αὐτὸς αὑτῷ αἴτιος.
ὑπὸ γὰρ τῆς φιλαυτίας, ἧττον λυποῦνται διὰ
ἑαυτοὺς δυστυχήσαντες. λεκτέον δέ, ὅτι καὶ τὸ
του μεῖζον κακὸν ὑπάρχει, ὃ παθόντες ἕτεροι,
πολὺ ἤνεγκαν εὐκόλως. πρὸς δὲ τούτοις, ὅτι εἰ
κατὰ βραχὺ ἀνιαρόν ἐστιν, ἀλλ' οὖν καὶ καλόν,
καὶ ἔνδοξόν ἐστιν. ἔπειθ' ὅτι ὠφέλιμον, καὶ ὅτι
μηδὲ ὄφελος τῆς ἐπὶ τοῖς ἤδη γεγενημένοις λύ-
πης. καὶ ὁ οἶκτος δέ, μεγάλην ἰσχὺν ἔχει πρὸς
παραμυθίαν, μάλιστα ὅταν τις ἐπὶ κηδείᾳ τοὺς
λόγους ποιήσαιτο. οἱ γὰρ ἀνιώμενοι, πρὸς μὲν
τούτους τοὺς οἰομένους, μηδέν τι δεινὸν αὐτοὺς
πεπονθέναι πεφύκασιν ἀντιτείνειν. καὶ πρὸς
τῇ λύπῃ, οἷον ὀργίζεσθαι τοῖς παραμυθουμέ-
νοις. παρὰ δὲ τῶν συνολοφυρομένων, εὐμενέ-
στερόν πως προσιέναι, ὡς παρ' οἰκείων τὰς πα-
ρηγορίας. διόπερ μετὰ τοὺς θρήνους ἐποιστέον
τῶν λόγων τοὺς νουθετικούς. ὅταν δὲ συγγνώ-
μην αἰτῶμεν, τὰς ἀφορμὰς ἐντεῦθεν ἕξομεν.
πρῶτον μέν, ὅτι ἀκούσιον τὸ πραχθέν. τοῦτο
δέ, δι' ἄγνοιαν, ἢ τύχην, ἢ ἀνάγκην. ἐὰν δὲ
ἑκούσιον ᾖ, λεκτέον, ὅτι ὅσιον, ὅτι συνῆθες,

συγκεινομένων ἰδίᾳ τινὰ λόγον διεξελευσόμεθα, ἢ ἐν ᾧ ἀμφοῖν, θάτερον προκείνοντες, καθάπερ καὶ Ξενοφῶν ἐν τῷ συμποσίῳ, τὸν τῆς ψυχῆς ἔρωτα, τῷ τοῦ σώματος αὐτῇ παραβάλλων προκείνει.

ΠΕΡΙ ΠΡΟΣΩΠΟΠΟΙΙΑΣ.



ΡΟΣΩΠΟΠΟΙΙΑ ἐστὶ, προσώπου παρεισαγωγή, διατιθεμένου λόγους οἰκείους, ἑαυτῷ τε καὶ τοῖς ὑποκειμένοις πράγμασιν ἀναμφισβητήτως· οἷον τίνας ἂν εἴποι λόγους ἀνὴρ πρὸς τὴν γυναῖκα, μέλλων ἀποδημεῖν· ἢ στρατηγὸς τοῖς στρατιώταις, ἐπὶ τοῖς κινδύνοις. καὶ ἐπὶ ὡρισμένων δὲ προσώπων· οἷον, τίνας ἂν εἴποι λόγους Κῦρος ἐλαύνων ἐπὶ μασσαγέτας. ἢ τίνας Δάτις μετὰ τὴν ἐν μαραθῶνι μάχην ἐντυγχάνων τῷ βασιλεῖ. ὑπὸ δὲ τοῦτο τὸ γένος τῆς γυμνασίας πίπτει καὶ τὸ τῶν πανηγυρικῶν λόγων εἶδος, καὶ τὸ τῶν προτρεπτικῶν, καὶ τὸ τῶν ἐπιστολικῶν. πρῶτον μὲν τοίνυν ἁπάντων, ἐνθυμηθῆναι δεῖ, τό τε τοῦ λέγοντος πρόσωπον ὁποῖόν ἐστι, καὶ τὸ πρὸς ὃν ὁ λόγος, τήν τε παροῦσαν ἡλικίαν, καὶ τὸν καιρὸν, καὶ τὸν τόπον, καὶ τὴν τύχην,

τύχην, καὶ τὴν ὑποκειμένην ὕλην, περὶ ἧς οἱ μέλλοντες λόγοι ῥηθήσονται. ἔπειτα δὲ ἤδη πειρᾶσθαι λόγους ἁρμόττοντας εἰπεῖν. πρέπουσι γὰρ δὴ ἡλικίαν ἄλλοι ἄλλοις, πρεσβυτέρῳ καὶ νεωτέρῳ, οὐχ οἱ αὐτοί. ἀλλ᾽ ὁ μὲν τοῦ νεωτέρου λόγος ἡμῖν, ἁπλότητι καὶ σωφροσύνῃ μεμιγμένος ἔσται· ὁ δὲ τοῦ πρεσβυτέρου, συνέσει καὶ ἐμπειρίᾳ. καὶ διὰ φύσιν γυναικὶ καὶ ἀνδρὶ, ἕτεροι λόγοι ἁρμόττοιεν ἄν, καὶ διὰ τύχην δούλῳ καὶ ἐλευθέρῳ, καὶ διὰ ἐπιτηδεύματα στρατιώτῃ καὶ γεωργῷ. κατὰ δὲ διάθεσιν, ἐρῶντι, καὶ σωφρονοῦντι, καὶ διὰ γένος. ἕτεροι μὲν λόγοι τοῦ Λάκωνος παῦροι καὶ λιγέες, ἕτεροι δὲ τοῦ Ἀττικοῦ ἀνδρὸς στωμύλου. καὶ βαρβαρικῶς φαμὲν εἰπεῖν πολλάκις τὸν Ἡρόδοτον, καίπερ ἑλληνιστὶ γράφοντα, ὅτι τοὺς ἐκείνων λόγους μεμίμηται. πρέπουσι δὲ λόγοι, καὶ τόποις, καὶ καιροῖς. οὐ γὰρ ἐπὶ τοῦ στρατοπέδου οἱ αὐτοὶ καὶ ἐν ἐκκλησίᾳ, οὐδὲ ἐν εἰρήνῃ καὶ πολέμῳ, οὐδὲ νικῶσι καὶ ἡττημένοις, καὶ ὅσα ἄλλα παρακολουθεῖ τοῖς προσώποις. καὶ μὴν καὶ αὐτὰ τὰ πράγματα ἕκαστα, ἔχει πρέπουσαν ἑρμηνείαν. ταύτης δ᾽ ἂν ἐγκρατεῖς γινόμεθα, ἐὰν μήτε περὶ μεγάλων πραγμάτων ταπεινῶς λέγωμεν, μήτε περὶ μικρῶν ὑψηλῶς, μήτε περὶ

ὑγείαν, ἀπόλλωνος εἶναι θυγατέρα, ἐπειδὴ ἰατρὸς ὁ θεός. ἢ τὸ μέλι δὲ οὐρανοῦ, διότι δοκεῖ τοῖς πολλοῖς, ἐκ δρόσου τὴν ὑπόστασιν ἔχειν. ἢ ναὶ μὰ Δί' ἀλλ' ἐκ τῆς ἀρίστης πόλεως, ἐπειδὴ πέφυκε τὸ κάλλιστον μέλι ἐν τῇ ἀττικῇ γίνεσθαι, καὶ ὅσα τοιαῦτα. ἑξῆς δὲ λεκτέον, καὶ τὰς δι' ἑτέρων τῶν προβαλλομένων συμβαινούσας ὠφελείας. τὰς μὲν οὖν τῶν βελτιόνων συγκρίσεις, ἐκ ταύτης ποιησόμεθα. ἐκ δὲ τῶν ἐναντίων, ἐπειδὰν ζητῶμεν δυοῖν ὄντων φευκτῶν, τὸ χεῖρον ἀνευρεῖν· οἷον, ἀφροσύνης, καὶ ἀλγηδόνος. αἱ μὲν οὖν ἑνὸς πρὸς ἕν τι συγκρίσεις, οὕτως ἂν μεθοδεύοιντο. τὰς δὲ πλειόνων γενῶν πρὸς πλείω, κατὰ δύο τρόπους εἰώθαμεν συγκρίνειν. εἷς μὲν γάρ ἐστι τρόπος, ὅταν τῶν συγκρινομένων λαβόντες τὰ ἀκρότατα, πρὸς ἄλληλα παραβάλλωμεν. κατὰ δὲ τὴν τούτων σύγκρισιν, καὶ τὸ σύμπαν γένος, πρὸς πᾶν γένος ἀξιοῦμεν ἔχειν· οἷον, εἰ βουλοίμεθα τὸ τῶν ἀρρένων γένος, πρὸς τὸ τῶν θηλειῶν συγκρῖναι, ὁπότερον αὐτῶν ἐστιν ἀνδρειότερον, ἀξιοῦμεν τὸν ἀνδρειότατον ἄνδρα, πρὸς τὴν ἀνδρειοτάτην γυναῖκα συγκρίνοντες, ὁπότερον ἂν εὑρίσκωμεν κρείττονα, οὕτω καὶ τὸ ὅλον αὐτοῦ γένος, τοῦ ἑτέρου κρεῖττον ἀποφαίνειν. εἰ μὲν δὴ βουλόμεθα προ-

κρίνειν

κρίνειν τὸ τῶν ἀῤῥένων γένος τοῦ θήλεως, οὕτω ποιήσομεν· ὑποθησόμεθα γὰρ, θεμιστοκλέα κρείττονα εἶναι τοῦ τῶν ἀῤῥένων γένους κατὰ ἀνδρείαν, ἀρτεμισίαν δὲ τοῦ θήλεος. οὐκοῦν εἰ ἀνδρειότερος ὁ θεμιστοκλῆς ἀρτεμισίας, καὶ τὸ τῶν ἀῤῥένων γένος τοῦ τῶν θηλειῶν ἀνδρειότερον. εἰ δὲ τὸ θῆλυ γένος τοῦ ἄῤῥενος προκρίνειν ἐθέλοιμεν, ὑποθησόμεθα τόμυριν μὲν εἶναι ἀνδρειοτάτην γυναικῶν, κῦρον δὲ τῶν ἀνδρῶν. οὐκοῦν εἰ τόμυρις ἀνδρειοτέρα κύρου, καὶ τὸ τῶν θηλειῶν γένος ἀνδρειότερον τοῦ τῶν ἀῤῥένων. δεύτερος δὲ τρόπος ἐστὶν, ὅταν μὴ μίαν, ἢ δύο τῶν ἐξοχωτάτων, τοῖς ἐξοχωτάτοις παραβαλλόμενοι, ἀλλ' ἐκεῖνο τὸ γένος προκρίνομεν, ἐν ᾧ πλείους εἰσὶν οἱ εὐδόκιμοι· οἷον, εἰ πλείους εἰσὶν ἄῤῥενες ἀνδρεῖοι, ἤπερ αἱ γυναῖκες, καὶ τὸ γένος τῶν ἀῤῥένων, τοῦ τῶν γυναικῶν ἀνδρειότερον. οὐ γὰρ εἰ τόμυρις ἡ μασσαγέτις, ἢ ϖαρέδρα ἡ ἀμώργου τοῦ σακῶν βασιλέως γυνὴ κρείττων ἐστὶ κύρου, ἢ καὶ ναὶ μὰ δία σεμίραμις ζωροάστρου τοῦ βακτρίου, ἤδη συγχωρητέον, καὶ τὸ θῆλυ τοῦ ἄῤῥενος εἶναι ἀνδρειότερον· μιᾶς μὲν ἢ δύο γυναικῶν ἀνδρειοτάτων οὐσῶν, ἀῤῥένων δὲ παμπόλλων. ἔστι δὲ ὁ τόπος τῶν λόγων διττός. ἢ γὰρ ὑπὲρ ἑκάστου τῶν

ὅτι ὠφέλιμον. ἐπιχειρεῖν δὲ δεῖ, ἐξ ὧν ἐνδέχεται τόπων. οὐ γὰρ πάντες ἁρμόττουσι, πρὸς πάσας τὰς ὑπὸ τὸ αὐτὸ εἶδος οὔσας προσωποποιίας. τοῦτο δὲ τὸ γύμνασμα, μάλιστα ἠθῶν καὶ παθῶν ἐπιδεκτικόν ἐστιν. ἁπλῶς μὲν οὖν ὡς ἐν εἰσαγωγῇ ἀπόχρη, κἂν ἐκ τούτων τόπων τὰ μειράκια γυμνάζηται. τοῖς δὲ ἀκριβέστερον καὶ τελειότερον βουλομένοις τὰς προσωποποιίας μεταχειρίζεσθαι, πάρεστι καὶ ταῖς μικρὸν ὕστερον ῥηθησομέναις ἡμῖν ἀφορμαῖς τῶν ἐπιχειρημάτων πρὸς τὰς θέσεις, χρῆσθαι.

ΠΕΡΙ ΕΚΦΡΑΣΕΩΣ.



ΕΚΦΡΑΣΙΣ ἐστὶ λόγος περιηγηματικὸς, ἐναργῶς ὑπ' ὄψιν ἄγων τὸ δηλούμενον. γίνεται δὲ ἔκφρασις προσώπων τε καὶ πραγμάτων, καὶ τόπων, καὶ χρόνων. προσώπων μὲν οὖν, οἷον τὸ ὁμηρικὸν, Γυρὸς ἐν ὤμοισι, μελανόχροος, οὐλοκάρηνος. καὶ τὰ περὶ τοῦ Θερσίτου· φολκὸς ἔην χωλὸς δ' ἕτερον πόδα, τὼ δέ οἱ ὤμω κυρτὼ ἐπὶ στῆθος· καὶ τὰ ἑξῆς. καὶ παρ' Ηροδότῳ τὸ εἶδος τῆς ἴβιδος, καὶ τῶν ἵππων τῶν ποταμίων, καὶ τῶν κροκοδεί-

ἱεροκολάπτων τῶν αἰγυπτίων. πραγμάτων δὲ, οἷον ἐκφράσεις πολέμου, εἰρήνης, χειμῶνος, λιμοῦ, λοιμοῦ, σεισμοῦ. τόπων δὲ, οἷον λειμῶνος, αἰγιαλῶν, πόλεων, νήσων, ἐρημίας, καὶ τῶν ὁμοίων. χρόνων δὲ, οἷον ἔαρος, θέρους, ἑορτῆς, καὶ τῶν τοιούτων. αἱ δὲ κατὰ τρόπον εἰσὶν ἐκφράσεις, ὁποῖαι τῶν σκευῶν, καὶ τῶν ὅπλων, καὶ τῶν μηχανημάτων, ὃν τρόπον ἕκαστον παρεσκεύασθη. ὡς παρὰ μὲν Ὁμήρῳ, ἡ ὁπλοποιΐα. παρὰ Θουκυδίδῃ δὲ ὁ περιτειχισμὸς τῶν πλαταιέων, καὶ ἡ τοῦ μηχανήματος κατασκευή· κεραίαν μεγάλην δίχα πρίσαντες ἐκοίλαναν ἅπασαν. ἐν δὲ τῇ ἐνάτῃ, † κτῆσις. οἷον, τὰ εἴδωλα τῶν περσῶν, ἐπὶ τοῖς μακροῖς ξύλοις ὁρῶντες ὑπὸ τὸν ὄρθρον πρὸς τὰς ἀκροπόλεις πόῤῥωθεν οἱ λυδοὶ, εἰς φυγὴν ἐτράπησαν, νομίσαντες τὴν ἀκρόπολιν πλήρη εἶναι περσῶν, καὶ ἤδη ἑαλωκέναι. γένοιτο δ᾽ ἄν τις καὶ μικτὴ ἔκφρασις, ὡς παρὰ Θουκυδίδῃ καὶ Φιλίστῳ νυκτομαχία. ἡ νυκτομαχία μὲν γὰρ ἡ νὺξ καιρός ἐστιν, ἡ δὲ μάχη πρᾶξις. συγγένειαν δὲ ἔχει τὸ γύμνασμα πρὸς τῶν προειρημένων, † ἡ μὲν γὰρ περὶ ἑνὸς ὡρισμένου ἐστὶν ἀμφότερα, ἀλλὰ κοινὰ, καὶ καθόλου ταύτῃ ὅμοια. διαφέρει δὲ ἀλλήλων πρώτων μὲν, ὅτι μὲν ὁ τόπος περὶ τῶν ἐκ προ-

† κτησίας.

πρὸς τὸν τόπον

καὶ πρὸς τῷ πρᾶξαι, τὸ δυνατὸν αὐτὸ εἶναι. ἐὰν μὴ κατὰ φύσιν, καὶ κατὰ νόμον ὑπάρχῃ. ἕτερον, ὅτι ῥᾴδιον γενέσθαι· εἰ δὲ μὴ ῥᾴδιον εἴη, δυνατὸν δὲ πραχθῆναι, ὅτι πολὺ πλέον οὕτως ἐπαινετόν ἐστιν, ἢ εἰ ῥᾴδιον ἦν. ἔπειθ' ὅτι μὴ μόνοι πράττομεν, ἀλλὰ καὶ ἕτεροι πολλοί. ἑξῆς ὅτι μὴ πρῶτοι, ἀλλὰ καὶ ἄλλοι πρὸ ἡμῶν. εἰ δὲ καὶ μόνοι, ἢ πρῶτοι, ἀλλ' ὅτι ποτὲ κρεῖττον ἄρξασθαι ἔργων καλῶν. εἶθ' ὅτι ὅσιον. διττὸν δὲ τοῦτο· ἢ γὰρ θεοῖς κεχαρισμένον, ἢ τετελευτηκόσιν. ἐφεξῆς δὲ, ὅτι ἀναγκαῖον. εἶθ' ὅτι ἔνδοξον, καὶ ὅτι λυσιτελές, καὶ ὅτι πρὸς ἀσφάλειαν ἐπιτήδειον, καὶ ὅτι προκαταρκτικόν ἐστι κρειττόνων πραγμάτων, ὅτι ἡδύ, καὶ ὅτι εἰ μὴ πραχθῇ μετάνοιαν φέρει, καὶ δυσεπανόρθωτόν ἐστιν. ἐκ δὲ τοῦ ἐναντίου· εἰ γὰρ τὸ ἐναντίον οὐ πρακτέον, τοῦτο πρακτέον· καὶ εἰ τὸ ἐναντίον αἰσχρόν, τοῦτο καλόν· καὶ εἰ ἐκεῖνο ἀσύμφορον, τοῦτο συμφέρον· καὶ εἰ τὸ ἐναντίον ἀηδές, τοῦτο ἡδύ. τὸν αὐτὸν δὲ τρόπον καὶ ἐκ τοῦ ὁμοίου· εἰ γὰρ τὸ ὅμοιον αἱρετόν, καὶ τοῦτο αἱρετόν. ὁμοίως δὲ καὶ ἐκ τοῦ ἐλάττονος, καὶ ἐκ τοῦ μείζονος, καὶ ἐκ τοῦ μέρους, καὶ ἐκ τοῦ τέλους, οὗ χάριν καὶ τὸ πρᾶγμα αἱρούμεθα. εἰ γὰρ τὸ τέλος αἱρετόν, καὶ τὸ ποιητικὸν τοῦ τέλους αἱρετόν. μετὰ δὲ ταῦτα, ἐκ τῆς περιοχῆς. ὅτι πολλὰ ἐν αὐτῷ περιέχει πράγματα καλά, ἢ συμ-

φέροντα, ἢ ἡδέα. εἶτα ἐκ τῶν πρὸ τοῦ πράγματος ἐπιχειρήσομεν, καὶ ἐκ τῶν περὶ αὐτὸ τὸ πρᾶγμα, καὶ τρίτον ἐκ τῶν μετὰ τὸ πρᾶγμα. ἐὰν μέντοι καὶ τῶν τελειοτέρων εἴη, ληπτέον καθ' ἕκαστον τῶν προειρημένων τόπων, καὶ τὰς τῶν ἐπισήμων ἀνδρῶν, ποιητῶν τε, καὶ πολιτικῶν, καὶ φιλοσόφων μαρτυρίας. ἔτι δὲ καὶ αἱ παλαιαὶ ἱστορίαι συνάδουσι τοῖς λεγομένοις· καὶ τούτων μνημονευτέον, μὴ χύδην, μηδ' ὡς ἔτυχεν, ἀλλὰ κατ' αὔξησιν ποιουμένους τὰ παραδείγματα πρῶτον, ἀπὸ τῶν ἑνὶ ἀνδρὶ καὶ ἰδιώτῃ πεπραγμένων, ἔπειτα ἀπὸ τῶν ἄρχοντι, ἢ βασιλεῖ. ἑξῆς δὲ, ἀπὸ τῶν πόλει, καὶ ἐπὶ πᾶσιν ἀπὸ τῶν χώραις τισὶν, ἢ ἔθνεσι γεγενημένων· μὴ μέντοι ὥστε ἀνάπλεων ἱστοριῶν καὶ ποιημάτων τὸν λόγον γενέσθαι. ἐκ δὲ τῶν ἐναντίων ἀνασκευαστέον. τὴν δὲ τάξιν ποιησόμεθα τῶν ἐπιχειρημάτων, καθὰ καὶ τὴν τῶν τόπων ἐποιησάμεθα, ἄνωθεν ἀπὸ τῶν πρώτων ἀρχόμενοι, καὶ προϊόντες μέχρι τῶν τελευταίων. παραδείγματος δὲ ἕνεκα, ἔστω τις θέσις πρώτη ἀπὸ τῶν πρακτικῶν· οἷον, εἰ πολιτευτέον τῷ σοφῷ. τῷ μὲν οὖν κατασκευάζοντι, ὡς χρὴ πολιτεύεσθαι, λεκτέον πρῶτον μὲν, ὅτι δυνατόν ἐστι τῷ σοφῷ πολιτεύεσθαι· δεύτερον δὲ, ὡς κατὰ φύσιν ἐστίν· οἷον ὅτι καὶ ἐν θηρίοις ὑπάρχει πολιτεία, καὶ ἑκάστης ἀγέλης ἐστὶ τις ἡγεμὼν, καὶ ὅτι παρὰ βαρβάροις

καὶ

μένου πράγματος αὔξησις· ἡ δὲ θέσις, ἀμφισβητουμένου. διὸ καὶ Ἑρμαγόρας μὲν αὐτὴν, κρινόμενον προσηγόρευκεν. Θεόδωρος δὲ ὁ γαδαρεὺς, κεφάλαιον ἐν ὑποθέσει. διαφέρει δὲ καὶ τῇ ἐκβάσει· ὅτι ἐν μὲν τῇ θέσει, τέλος ἐστὶ τὸ πεῖσαι. ἐν δὲ τῷ τόπῳ, τὸ τιμωρίαν λαβεῖν. καὶ ὅτι λέγεται ὁ μὲν τόπος ἐν δικαστηρίῳ, ἡ δὲ ἐν ἐκκλησίᾳ καὶ ἀκροάσει. ἔτι τοῦ μὲν τόπου ἀκροῶνται δικασταί, τῆς δὲ θέσεως ἁπλῶς πολῖται· καὶ κατὰ ἄλλα πολλά. τῆς δὲ προσωποποιίας, ὅτι ἡ μὲν θέσις πρόσωπον οὐκ ἐμφαίνει· ἡ δὲ προσωποποιία, ὅτι πλεῖστον ἀναφέρεται ἐν τῇ τῶν οἰκείων λόγων εὑρέσει τοῖς εἰσαγομένοις προσώποις. οὐ γὰρ τὸν αὐτὸν τρόπον τις τοὺς λόγους διαθήσεται, ἁπλῶς σκοπῶν εἰ παιδοποιητέον, καὶ παρεισάγων πατέρα συμβουλεύοντα τῷ υἱῷ παιδοποιήσασθαι. ληψόμεθα δὲ τὰ προοίμια τῶν θέσεων, ἤτοι ἀπὸ γνώμης κατασκευαζούσης τὴν θέσιν, ἢ ἀπὸ παροιμίας, ἢ χρείας, ἢ ἀποφθέγματος χρησίμου, ἢ ἱστορίας, ἢ ἀπὸ ἐγκωμίου, ἢ ψόγου τοῦ πράγματος, ὑπὲρ οὗ τὸ ζήτημα. διήγησιν δὲ οὐκ ἔχομεν ἐν ταῖς θέσεσιν· ὑπόκειται γὰρ τὸ πρᾶγμα ἀπερίστατον· ἀλλὰ μετὰ τὸ προοίμιον, τάξομεν τὰ κεφάλαια. ἐπεὶ δὲ τῶν θέσεων, αἱ μὲν

εἰσι

εἰσὶ θεωρητικαὶ, ὅσαι θεωρίας ἕνεκα, καὶ γνώσεως μόνον ζητοῦνται· οἷον εἰ θεοὶ προνοοῦσι τοῦ κόσμου. αἱ δὲ πρακτικαὶ, εἰς τινα πρᾶξιν τὴν ἀναφορὰν ἔχουσαι· οἷον, εἰ γαμητέον. φανερὸν ὅτι αἱ μὲν πρακτικαὶ, καὶ πολιτικώτεραι εἰσι, καὶ κατὰ τὸν ῥητορικὸν χαρακτῆρα· αἱ δὲ θεωρητικαὶ, μᾶλλον τοῖς φιλοσόφοις ἁρμόττουσιν, αἷς οὐδὲν ἧττον ἐγχειρεῖν καὶ τοῖς ῥητορικοῖς δυνατόν ἐστιν, ἀπὸ τῶν πρὸς τὰς πρακτικὰς θέσεις τόπων ὁρμωμένους. οὐδὲν μέντοι διαφέρει, ἐάν τε οὕτω λέγῃ τις· εἰ γαμητέον, ἢ οὔ. καὶ πάλιν, εἰ αἱρετὸς ὁ γάμος, ἢ φευκτέος. ἓν γὰρ καὶ ταυτό ἐστι διὰ πάντων ἐστὶ τὸ δηλούμενον. τῶν μὲν οὖν πρακτικῶν θέσεων, τὰ ἀνωτάτω κεφάλαια καταλαμβάνεται, κατασκευάζοντι μὲν ἐκ τοῦ ἀναγκαίου, καὶ τοῦ καλοῦ, καὶ τοῦ συμφέροντος, καὶ τοῦ ἡδέος. ἀνασκευάζοντι δὲ, ἐκ τῶν ἐναντίων. εἰς ἑκάστην δὲ ἐπιχειρήσομεν, ἐξ ὧν τόπων δυνατόν ἐστιν. ὡς γὰρ ἐπισημαινόμεθα, οὐχ οἷόν τέ ἐστιν ἐκ πάσης ἀφορμῆς πρὸς πᾶν πρόβλημα ἐπιχειρεῖν. εἰσὶ δὲ καὶ οἱ τόποι οἵδε. πρῶτον μὲν, ὅτι δυνατὸν γενέσθαι τὸ ἀξιούμενον διὰ τῆς θέσεως. δεύτερον δὲ, ὅτι κατὰ φύσιν, καὶ κατὰ κοινὰ πάντων ἀνθρώπων ἔθη τε καὶ νόμιμα. ὃ γὰρ ἀπὸ

αἱρέσεώς ἐστιν· ἡ δὲ ἔκφρασις, τὰ πολλὰ περὶ τῶν ἀψύχων, καὶ ἀπροαιρέτων γίνεται. δεύτερον, ὅτι ἐν μὲν τῷ τόπῳ τὰ πράγματα ἀπαγγέλλοντες, προστίθεμεν καὶ τὴν ἡμετέραν γνώμην, ἢ χρηστὰ, ἢ φαῦλα λέγοντες εἶναι. ἐν δὲ τῇ ἐκφράσει, ψιλὴ τῶν πραγμάτων ἐστὶν ἡ ἀπαγγελία. ἐπιχειρήσομεν δὲ, τὰ μὲν πράγματα ἐκφράζοντες, ἔκ τε τῶν προγιγνομένων, καὶ ἐκ τῶν συμβαινόντων τούτοις· οἷον, περὶ πολέμου διεξελευσόμεθα, πρῶτον μὲν τὰ πρὸ τοῦ πολέμου, τὰς στρατολογίας, τὰ ἀναλώματα, τοὺς φόβους, τὴν χώραν δῃουμένην, τὰς πολιορκίας. ἔπειτα δὲ τὰ τραύματα, τοὺς θανάτους, καὶ τὰ πένθη. ἐφ' ἅπασιν δὲ, τῶν μὲν τὴν ἅλωσιν καὶ τὴν δουλείαν, τῶν δὲ τὴν νίκην, καὶ τὰ τρόπαια. ἐὰν δὲ τόπους, ἢ χρόνους, ἢ τρόπους, ἢ πρόσωπα ἐκφράζωμεν, μετὰ τῆς παρὰ ἑαυτῶν διηγήσεως, ἀφορμὰς ἕξομεν λόγων, καὶ ἐκ τοῦ καλοῦ, καὶ ἐκ τοῦ χρησίμου, καὶ ἐκ τοῦ ἡδέως· οἷον Ὅμηρος περὶ τῶν Ἀχιλλέως ὅπλων ἐποίησεν εἰπὼν, ὅτι καὶ καλὰ ἦν, καὶ ἰσχυρὰ, καὶ ἰδεῖν τοῖς μὲν συμμάχοις ἐκπληκτικὰ, τοῖς δὲ πολεμίοις φοβερά. ἀρεταὶ δὲ ἐκφράσεως, αἵδε. σαφήνεια μὲν μάλιστα, καὶ ἐνάργεια τοῦ σχεδὸν ὁρᾶσθαι τὰ ἀπαγγελλόμενα. ἔπειτα τὸ

μὴ

μὴ τελέως ἀπομηκύνειν περὶ τὰ ἄχρηστα. τὸ δὲ ὅλον συνεξομοιοῦσθαι χρὴ τοῖς ὑποκειμένοις τὴν ἀπαγγελίαν. ὥστε εἰ μὲν εὐανθές τι εἴη τὸ δηλούμενον, εὐανθῆ καὶ τὴν φράσιν εἶναι. εἰ δὲ αὐχμηρὸν, ἢ φοβερὸν, ἢ ὁποῖον δή ποτε, μὴ δὲ τὰ τῆς ἑρμηνείας ἀπᾴδειν τῆς φύσεως αὐτῶν. ἔνιοι μέν τοι γε ἀξιοῦσι γυμνάζεσθαι καὶ τὴν ἔκφρασιν, ἀνασκευάζοντες καὶ κατασκευάζοντες τὰς ὑπό τινων εἰρημένας ἐκφράσεις· οἷον, ὅτι Ἡρόδοτος διέψευσται, περὶ τοῦ εἴδους τῶν ἴβεων, λέγων ὅτι λευκότεραί εἰσι, πλὴν κεφαλῆς τε καὶ αὐχένος, καὶ τοῦ πυγιαίου ἄκρου. τὸ γὰρ πυγιαῖον ὅλον, λευκόν ἐστιν. ἡμῖν δὲ, οὐδὲν καινὸν δοκοῦσι λέγειν παρὰ τὰ προειρημένα, διὰ τὸ τοιοῦτον εἶδος ὑποπίπτειν νομίζειν, ἐν ταῖς τῶν διηγημάτων ἀνασκευαῖς τε, καὶ κατασκευαῖς.

ΠΕΡΙ ΘΕΣΕΩΣ.



ΈΣΙΣ ἐστιν, ἐπίσκεψις λογικὴ, ἀμφισβήτησιν ἐπιδεχομένη, ἄνευ προσώπων ὡρισμένων, καὶ πάσης περιστάσεως. οἷον, εἰ γαμητέον, εἰ παιδοποιητέον, εἰ θεοί εἰσι. διαφέρει δὲ τοῦ τόπου ᾗ ὁ μὲν ἐστιν ὁμολογου-

μένου

ος παρ' Ἕλλησι, καὶ παρ' αὐτοῖς (ὡς λόγος) τοῖς θεοῖς, ἀεὶ ἄρχουσιν οἱ σπουδαιότατοι. ἑξῆς δέ, ὅτι καὶ ῥᾴδιον τῷ σοφῷ πολιτεύεσθαι. ἐγγεγυμνασμένος γὰρ ταῖς περὶ ἠθῶν ἀνθρωπίνων πραγματείαις οὐκ ἀρρύθμως ἀνθρώπων προστήσεται. ἔπειτα ὅτι εἰ καὶ μὴ ῥᾴδιον ἦν, ἀλλὰ προυργιαίτερόν γε χρὴ τίθεσθαι τῶν πόνων τὴν τῆς πόλεως εὐδαιμονίαν. ἑξῆς δέ, ὅτι καὶ συναγωνιστὰς ἔχει πολλοὺς τῶν συμπολιτευομένων. καὶ ὅτι μὴ πρῶτος, ἀλλὰ πολλοὶ ἐπολιτεύσαντο σοφοί· πιττακός, σόλων, λυκοῦργος, ζάλευκος, ἄλλοι μυρίοι. ἔπειθ' ὅτι καὶ μηδεὶς ἦν πολιτευόμενος καὶ πάλαι, καὶ νῦν, ἀλλ' ἐπαινετώτερός γε ἀρχόμενος καλῶν ἔργων. μετὰ δὲ ταῦτα, ὅτι ἁρμόττει τῷ σοφῷ πολιτεύεσθαι. τίς γὰρ ἄμεινον αὐτοῦ κρινεῖ τὰ δίκαια, καὶ συμβουλεύσεται τὸ συμφέρον, καὶ νόμους, καὶ ψηφίσματα εἰσηγήσεται, καὶ ἀδωροδόκητα ταῦτα διαπράξεται; ἐν τίνι δὲ ἔργῳ μᾶλλον ἐπιδείξεται τὴν ἀρετήν, καὶ τὴν πρὸς τὸν θεὸν ὁμοιότητα; πρὸς δὲ τούτοις, ὅτι δίκαιον, ἀποδοῦναι τῇ πατρίδι, καὶ τοῖς πολίταις, καὶ τοῖς πρώτοις θεοῖς τὰς ἀμοιβὰς τῆς παρ' αὐτοῖς τροφῆς καὶ παιδείας. ἔπειθ' ὅτι ὅσιον, καὶ κεχαρισμένον δὴ τοῖς θεοῖς, τοὺς ἀνθρώπους καλῶς πολιτεύεσθαι.

λιτεύεσθαι. ἑξῆς δὲ, ὅτι καὶ τοῖς κατοιχομένοις ἡδὺ ἐστὶ σώζεσθαι τοὺς συγγενεῖς. εἶθ' ὅτι ἀναγκαῖόν ἐστι τῇ πόλει ἔχειν τινὰ τῶν προνοουμένων αὐτῆς, καὶ μάλιστα σπουδαῖον. ἄνευ γὰρ τούτου, πόλις οὐκ ἂν δύναιτο συστῆναι. μετὰ δὲ ταῦτα, ὅτι καὶ αὐτὸς ἑαυτοῦ τις ἐνδοξότερος γίνεται πολιτευόμενος, κἂν τέως ἀφανὴς ἦν. ἔπειθ' ὅτι λυσιτελέστατα ἂν τὸν καθ' ἡμέραν βίον διάγοι εἰς χρημάτων λόγον, καὶ ὅτι ἀσφαλέστατα τοῦ παρὰ τῶν συκοφαντούντων, καὶ ἐπιβουλευόντων φθόνου ἀπηλλαγμένος. ἑξῆς δὲ, ὅτι ἄρχει, καὶ προηγεῖται τὸ πολιτεύεσθαι τὸν σοφὸν μειζόνων τε καὶ καλλιόνων πραγμάτων, οὐ μόνον ἰδίᾳ, ἀλλὰ καὶ κοινῇ· καὶ ὅτι καὶ ἥδιστος ὁ βίος τῶν πολιτευομένων. τοῦτο δὲ σχεδὸν παρακολουθεῖν πέφυκε καὶ τοῖς πλείστοις τῶν προειρημένων τόπων. ἔτι δὲ πρὸς τούτοις, ὅτι ἀμεληθεῖσα πολιτεία, καὶ μεταβολὴν ἐπὶ τὸ κακὸν λαβοῦσα, δυσεπανόρθωτός ἐστι, καὶ τῷ πρὶν γενέσθαι πονηρὸν ἠμεληκότι μετάνοια γίνεται, ὅτε μηδὲν ὄφελος. ἑξῆς δὲ ἐκ τῶν ἐναντίων. εἰ γὰρ τὸ ἀντιπράττειν τῇ πατρίδι αἰσχρόν, τὸ πολιτεύεσθαι καλόν· εἰ ἐκεῖνο ἀσύμφορον, τοῦτο συμφέρον· καὶ εἰ ἐκεῖνο ἀηδὲς, τοῦτο ἡδύ. καὶ εἰ τὸ ὅμοιον τῷ πολιτεύεσθαι, ἴσα δὲ τὸ ἐπιμελεῖσθαι τῶν

νέων, εἰ καλόν ἐστι καὶ συμφέρον, καὶ ἡδύ, καὶ αὐτὸ τὸ πολιτεύεσθαι καλόν ἐστι, καὶ συμφέρον, καὶ ἡδύ. ἐκ δὲ τοῦ ἐλάττονος, ἐπιχειρήσομεν οὕτως· εἰ μιᾶς οἰκίας τῷ σπουδαίῳ φροντιστέον, καὶ πόλεως μιᾶς ἐπιμελητέον. ἐκ δὲ τοῦ μέρους, ὅτι εἰ ἕνα νόμον συμφέροντα, ἐπεὶ καὶ μίαν συμβουλὴν εἰσηγητέον τῷ σπουδαίῳ, καὶ ὅλην τὴν πολιτείαν. ἀνάπαλιν δὲ ἐκ τοῦ ὅλου, εἰ καθολικὴν πολιτείαν εἰσηγεῖται τοῖς ἀνθρώποις ὁ σοφός, ὥσπερ καὶ Πλάτων ἐν τῇ πολιτείᾳ, δίκαιός ἐστι καὶ ἐν τῇ ἑαυτοῦ πατρίδι πολιτεύεσθαι. μετὰ δὲ ταῦτα, διελευσόμεθα τὴν εὐδαιμονίαν τῆς πόλεως ἐν εἰρήνῃ τε καὶ παρὰ τὸν πόλεμον, καὶ ἁπλῶς παρ' ὅντινα οὖν χρόνον, ἅπερ τελευτὴ τοῦ καλῶς πολιτεύεσθαί ἐστιν. εἶτα ἐκ τῆς περιοχῆς, ὅτι λόγῳ μὲν καὶ τῷ δοκεῖν ἐν τῷ μέλλει τῇ πόλει χαρίζεσθαι τὸ πολιτεύσασθαι, ἔργῳ δὲ πολλαί ἐστι. κατὰ γὰρ τοὺς περὶ τὸν Ἀριστοτέλην, ἀνάγκη τὸν πολιτευόμενον περὶ πολέμου καὶ εἰρήνης συμβουλεῦσαι, καὶ περὶ χρημάτων, καὶ περὶ φυλακῆς τῆς χώρας, καὶ περὶ τῶν εἰσαγωγίμων, καὶ ἐξαγωγίμων, καὶ περὶ νομοθεσίας τε καὶ τῶν ἄλλων τοιούτων. τῶν δὲ πρὸ τοῦ πράγματος τόπων, καὶ τῶν παρ' αὐτὸ τὸ πρᾶγμα, καὶ μετὰ τὸ πρᾶγμα, δυνατὸν μὲν καὶ ἐπὶ τῆς προκει-

μένης

μένης θέσεως παραδείγματα ἐκθέσθαι. Σαφέστερα δ' ἔσται, ἐφ' ἑτέρας, οἷον, εἰ παιδοποιητέον. λαβόντες γὰρ τὸν γάμον, καὶ πάντα ἁπλῶς ὅσα ἀνάγκη τῆς παιδοποιίας προϋπάρξαι ἐπαινεσόμεθα, δεικνῦντες καλὰ, καὶ συμφέροντα, καὶ ἡδέα, καὶ εἶθ' ἑξῆς παραμαρτυροῦντα τῇ παιδοποιίᾳ. μετὰ δὲ ταῦτα, τὰ ἐπιγιγνόμενα· οἷον, τὰς γηρωκομίας καὶ γηροβοσκίας, καὶ τὰς τῶν τέκνων εὐπραγίας, καὶ ἡδονὰς, καὶ τὰ παραπλήσια. ἐκ δὲ τῶν ἐναντίων εὐπορήσομεν εἰς ἀνασκευήν. περὶ μὲν οὖν τῆς πρακτικῆς θέσεως, τοσαῦτα. φέρε δὴ πειραθῶμεν καὶ τῆς θεωρητικῆς τινὰ διελεῖν, ἐκ τῶν αὐτῶν τόπων ὁρμώμενοι, οὐ μέντοι τὴν αὐτὴν τάξιν κἀνταῦθα φυλάξομεν, ἥνπερ ἐπὶ τῆς πρακτικῆς· ἀλλ' ὡς ἂν φανῇ τῷ προτεθέντι προβλήματι ἁρμόττειν, οὕτω καὶ ποιησόμεθα. ἴσως δ' ἄμεινον τὸ αὐτὸ ποιεῖν, καὶ ἐπὶ τῶν πρακτικῶν. ἁρμόττουσα δὲ τάξις ἑκάστῳ προβλήματί ἐστιν, ὅταν τὸ κατ' ἀρχὰς τὰ ἁπλούστερα καὶ κουφότερα τῶν ἐπιχειρημάτων λέγοντες, καὶ μᾶλλον προϊόντες, τὰ πληκτικώτερα καὶ βαρύτερα λαμβάνωμεν, καὶ ὅταν τὰ κατασκευαστικὰ τινῶν πρὸ ἐκείνων τάττωμεν ὧν ἐστὶ κατασκευαστικὰ, καὶ ὅταν τὰ ἀσθενῆ μεταξὺ τῶν ἰσχυροτέρων παρεμβάλλωμεν, καὶ ὅσα ἄλλα λέγεται ἐν τοῖς περὶ τάξεως. ἔστω δ' οὖν

ὑμᾶς ζητεῖν, εἰ προνοοῦσι θεοὶ τοῦ κόσμου. οὐκοῦν πάλιν ἐροῦμεν, ὅτι δυνατόν ἐστι τοῖς θεοῖς προνοεῖν ἡμῶν, καὶ μηδὲν αὐτοὺς ἐλαττοῦσθαι ἐκ τῆς περὶ τὸν κόσμον φροντίδος. ἔπειθ' ὅτι ῥᾴδιόν ἐστι τοῖς θεοῖς, καὶ ἄνευ πάσης πραγματείας. ἑξῆς, ὅτι δαίμονας, καὶ ἥρωας, καὶ ἄλλους θεοὺς συναγωνιστὰς ἔχει ταύτης τῆς φροντίδος. εἶθ' ὅτι πάντες ἄνθρωποι, ἕλληνές τε καὶ βάρβαροι, ἔννοιαν περὶ τῶν θεῶν ἔχουσιν ὡς προνοοῦσιν ἡμῶν. σημεῖον δέ· οὐ γὰρ ἂν βωμοὶ καὶ ναοί, καὶ χρηστήρια θεοῖς ἀνετίθετο, ἐφ' οἷς ἕκαστος ὧν πεπόνθασιν, ἐν λιμῷ, ἢ λοιμῷ, ἢ πολέμῳ, ἢ τινὶ τῶν τοιούτων, ὡς ἀπαλλαγέντων· οὐδ' ἂν παντὶ προσήκοντο νοῦν, καὶ μάλιστα ὁπότε περὶ τῶν μεγίστων κινδυνεύοιεν. ἑξῆς δὲ, ὅτι καὶ τοῖς σοφοῖς δοκεῖ· οἷον, πλάτωνι, ἀριστοτέλει, ζήνωνι. εἶθ' ὅτι τοῖς νομοθέταις· οὐ γὰρ ἂν ἀσεβείας ἦσαν γραφαί. εἶθ' ὅτι ἔνδοξοί εἰσι μάλιστα, οἱ ἡγούμενοι προνοεῖν ἡμῶν τοὺς θεούς. εἶθ' ὅτι ἀσφαλέστατα ἂν οὗτοι, καὶ προσεχόντως τὸν βίον διάγοιεν, νομίζοντες ἔχειν ἐπισκόπους ἀεὶ πασῶν τῶν κατὰ τὸν βίον πράξεων, καὶ ὅτι μάλιστα ἡδέως ζῶσιν, οἱ ἡγούμενοι ἐπιμελητὰς ἔχειν τοὺς θεούς. μετὰ δὲ ταῦτα, ὅτι δίκαιος ὢν ὁ θεὸς, οὐκ ἂν ἀπρονοήτους περιώρα τοὺς σεβομένους αὐτόν.

τόν. ἔπειθ' ὅτι ἡ φύσις τῶν ὅλων μαρτυρεῖ κατὰ πρόνοιαν πάντα γεγενῆσθαι τῆς σωτηρίας ἕνεκα τῶν ἐν κόσμῳ. αἵ τε γὰρ τοῦ ἔτους ὧραι κατὰ καιρὸν τὰς μεταβολὰς λαμβάνουσαι, οἵ τε ὄμβροι καὶ καρποὶ καθ' ὥραν γινόμενοι, καὶ τὰ μέρη δὲ τῶν ὡρῶν, ὡς εὖ δεδημιούργηται ὑπὸ τῆς φύσεως, πρὸς διαμονὴν καὶ σωτηρίαν αὐτῶν, καθάπερ καὶ Ξενοφῶν ἐν τοῖς ἀπομνημονεύμασι δηλοῖ. εἶθ' ὅτι μάλιστα πάντων μάλιστα ἁρμόττει τῷ θεῷ, τὸ προνοεῖν τοῦ κόσμου. οὐ γὰρ δὴ ὅσιον, ἀργὸν καὶ ἄπρακτον τὸν θεὸν εἰπεῖν, ἢ νὴ δία τοιαύτας ἔχειν ἀσχολίας, οἵας ἡμεῖς διὰ τὸ θνητοὶ εἶναι καὶ ἀσθενεῖς, ἀναγκαίως ἀσχολούμεθα. εἶθ' ὅτι ἀναγκαῖόν ἐστι τὸ πρόνοιαν εἶναι. εἰ γάρ τις τὸ προνοεῖν περιέλοι τοῦ θεοῦ, ἀνῄρηκεν καὶ ἣν ἔχομεν περὶ αὐτὸν ἔννοιαν, δι' ἣν καὶ εἶναι αὐτὸν ὑπολαμβάνομεν. ἐκ γὰρ τῆς περὶ ἡμᾶς αὐτοῦ φροντίδος τοῦ θεοῦ, καὶ ὅτι ὑπάρχει πεπιστεύκαμεν. ἔπειθ' ὅτι οὐδὲ τὴν ἀρχὴν συνέστη ὁ κόσμος, εἰ μή τις ἦν πρόνοια. ὥσπερ γὰρ οὐδὲ οἰκία ἄνευ τοῦ οἰκοδόμου δύναται γενέσθαι, ἐξ αὐτομάτου συνδραμόντων τῶν πλίνθων, οὐδὲ πλοῖον ἄνευ τοῦ ναυπηγοῦ, οὐδὲ ὅλως τί τῶν εὐτελεστάτων, ἢ τιμιωτάτων, ἄνευ τοῦ περὶ ἕκαστον δημιουργοῦ, οὕτω γελοῖόν ἐστι φά-

νας, τὸ κάλλιστον καὶ τιμιώτατον ἁπάντων τῶν ὄντων, τὸν κόσμον μὴ ὑπὸ καλλίστου τινὸς, καὶ θειοτάτου δημιουργοῦ γεγονέναι, ἀλλ' ἐκ ταὐτομάτου. μετὰ δὲ ταῦτα, ἐκ τοῦ ἐναντίου· ὅτι ἀδύνατόν ἐστι τὴν τοιαύτην εὐταξίαν τῶν κατὰ τὸν οὐρανὸν φερομένων, μὴ ὑπό τινος προνοίας γίνεσθαι νομίζειν, ἀλλ' εἰκῇ, καὶ ὡς ἔτυχεν· ἔπειτα ἐκ τοῦ ὁμοίου· ὅτι εἰ μὴ δύναται καλῶς συστῆναι, μήτε οἰκία ἄνευ οἰκονόμου, μήτε ναῦς ἄνευ κυβερνήτου, μήτε στρατόπεδον ἄνευ στρατηγοῦ, μήτε πόλις ἄνευ πολιτευτοῦ, οὐδ' αὖ ὁ κόσμος δύναται συστῆναι ἄνευ προνοοῦντος θεοῦ. πρὸς δὲ τούτοις, ἐκ τοῦ μέρους· ὅτι εἰ ὁμολογουμένως φαίνονται ἡμῶν καὶ τῶν πόλεων προνοοῦντες ἥρωές τε καὶ δαίμονες, καὶ θεοί, ἀκόλουθόν ἐστιν ὅλου τοῦ κόσμου προνοεῖν θεούς. εἶτα ἐκ τῆς περιοχῆς· ὅτι λόγων μὲν ἀναιρεῖται δόγμα, τὸ δ' ἀληθὲς, πολλά. εἰ γὰρ οὐκ ἔστι θεῶν πρόνοια, οὐδὲ δικαιοσύνη δύναται συνίστασθαι, οὔτε εὐσέβεια, οὔτε εὐεργεσία, οὔτε ἀνδρεία, οὔτε σωφροσύνη, οὔτε φιλία, οὔτε χάρις, οὐθ' ἁπλῶς τῶν κατ' ἀρετὴν οὐδὲν, ἅπερ οὐκ ἔστι κατ' ἄνδρας νοῦν ἔχοντας ἀναιρεῖν. ἐκ δὲ τῶν ἐναντίων τόπων, εἰς τὸ ἕτερον μέρος ἐπιχειρήσομεν. ἐπεὶ δὲ τῶν θέσεων αἱ μὲν εἰσὶν ἁπλαῖ, αἱ δὲ συνεζευγμέναι, ἁπλαῖ μὲν, εἰ γαμητέον, συνεζευγμέναι δὲ, εἰ βασιλεῖ

γαμητέον,

γαμητέον, διαιρετέον τὰς συνεζευγμένας εἰς ἕκαστον τῶν συνεζευγμένων, ἵνα τοὺς οἰκείους λόγους ἑκάστῳ τῶν μερῶν ἀποδῶμεν, καὶ αὐξήσεις καὶ παρεκβάσεις, καθ᾽ ἃ ἐνδέχεται μέρη τῆς θέσεως ποιησόμεθα. ὁμοίως δὲ καὶ πάθεσι, καὶ ἤθεσι, καὶ περιτροπαῖς χρησόμεθα, καὶ σχεδὸν πάσαις τοῦ λόγου ἰδέαις, πολλὰς εἰσάξομεν βίων περιστάσεις, καὶ περὶ ἑκάστης τοὺς ἁρμόζοντας λόγους ἐροῦμεν. οἷον, φέρε ζητεῖν, εἰ γαμητέον. μετὰ τοὺς κοινοὺς καὶ καθολικοὺς περὶ πάντων ἀνθρώπων λόγους ὑποθέσθαι, δι᾽ ὧν ἢ συστήσομεν τὸ γαμεῖν, ἢ ἀνασκευάσομεν, καὶ καθ᾽ ἕκαστον βίον ὑπερεξελευσόμεθα· οἷον, γεωργοῦ, ἐμπόρου, στρατιώτου, πλουσίου, πένητος, βασιλέως. καὶ οὕτω πολλὴν περιουσίαν λόγων ἕξομεν, ὡς τὴν μίαν θέσιν πάμπολλα ποιῆσαι. ταῖς δ᾽ αὐταῖς ἀφορμαῖς τῶν ἐπιχειρημάτων χρησόμεθα, καὶ πρὸς τὴν τῶν γνωμῶν ἀνασκευὴν, καθάπερ εἶπον καὶ πρότερον.

ΠΕΡΙ ΝΟΜΟΥ.


Ομος ἐστὶ, δόγμα πλήθους, ἢ ἀνδρὸς ἐνδόξου πολιτικοῦ, καθ᾽ ὃ πᾶσι προσήκει ζῆν τοῖς ἐν τῇ πόλει οὖσ᾽ εἴς τινα χρόνον ἀφωρι-

σμένον. τῶν δὲ νόμων ἐξέτασις, διχῶς. ἢ γὰρ εἰσφερομένων αὐτῶν καὶ τιθεμένων, ἢ κειμένων ἤδη. τιθεμένων οὖν γίνεται δοκιμασία, εἰ χρὴ κυροῦν, ἢ μή. περὶ δὲ τῶν ἤδη κειμένων, αἱ ἀμφισβητήσεις γίνονται τοῖς δικαζομένοις, οὐ παντελῶς ἀναιροῦσαι τοὺς νόμους, ἀλλ' ἑκάτερον πρὸς τὸ λυσιτελέστερον ἐξηγούμεναι. καὶ αὔξονται μὲν, ὅσα ὑπὲρ αὐτοῦ γεγράφθαι δοκεῖ. συγκρύπτονται δὲ, τὰ ἐναντία. ἐπεὶ δὲ νῦν ἡμῖν ὁ λόγος περὶ ἀνασκευῆς καὶ κατασκευῆς νόμου, ταῦτα δὲ μάλιστα ἐν ταῖς εἰσηγήσεσι, λεκτέον περὶ τούτου. εἰσφερομένων τοίνυν τῶν νόμων, ἢ κατηγοροῦμεν, καὶ ἀνασκευάζομεν, ἢ συνηγοροῦμεν, καὶ κατασκευάζομεν. μετὰ δὲ τὸ προοίμιον, ἀνασκευάσομεν ἐκ τόπων τῶνδε· ἐκ τοῦ ἀσαφοῦς, ἐκ τοῦ ἀδυνάτου, ἐκ τοῦ οὐκ ἀναγκαίου, ἐκ τοῦ ὑπεναντίου, ἐκ τοῦ ἀδίκου, ἐκ τῆς ἀξίας, ἐκ τοῦ ἀσυμφόρου, ἐκ τοῦ αἰσχροῦ. γίνεται δὲ ἀσάφεια, ἡ μὲν περὶ τὴν προφοράν, ἣν τινὲς περὶ τὴν προσῳδίαν καλοῦσιν, ἡ περὶ τὸ ὄνομα· ἡ δὲ περὶ τὴν ὁμωνυμίαν, ἡ δὲ περὶ τὴν πολυωνυμίαν, ἣν συνωνυμίαν ἕτεροι προσαγορεύουσιν· ἡ δὲ περὶ τὴν σύνταξιν, ἡ δὲ περὶ σύνθεσιν, καὶ διαίρεσιν· ἡ δὲ περὶ πλεονασμόν, ἡ δὲ περὶ ἔλλειψιν, ἡ δὲ περὶ τὴν μάχην. περὶ μὲν

ἐν τὴν προφορὰν ἐστιν, ὅταν ἐν τῇ αὐτῇ τάξει κειμένων τινῶν λέξεων ὁμοίων, δύναται ἢ προφέρεσθαι διττῶς τὸ γεγραμμένον· οἷον, θεράπαινα χρυσία μὴ φορείτω, εἰ δὲ μή, δημοσία ἔσω. ἀμφισβητοῦμεν γάρ, πότερον, ἡ θεράπαινα δημοσία ἔσω, ἢ τὰ χρυσία. δύναται γὰρ συστέλλεσθαι καὶ ἐκτείνεσθαι τὸ α. περὶ δὲ τὸ ὄνομα, ὅταν καινὸν, ἢ σφόδρα παλαιὸν, ἢ ξένον ᾖ τὸ γεγραμμένον· οἷον, ἡ ποδοκάκκη, καὶ ἡ ἡμεδία πῆ, καὶ εἴ τις λέγοι τὸν κέραμον ἀντὶ δεσμωτηρίου, καθάπερ κύπριοι. διὸ καὶ τὸ παρ' Ὁμήρῳ τινὲς οὕτως ἐξηγοῦνται· Χαλκέῳ δ' ἐν κεράμῳ δέδετο τρισκαίδεκα μῆνας. περὶ δὲ τὴν ὁμωνυμίαν, ὅταν ἓν ὄνομα, δύο, ἢ τρία σημαίνῃ, ἢ καὶ πλείω· οἷον, εἴ τις γράφει, ἐκ παιδὸς μὴ εἶναι μαρτυρεῖν. ζητήσομεν γὰρ ἐνταῦθα, πότερον, ἄνηβον λέγει μὴ μαρτυρεῖν, ἢ υἱὸν ὑπὲρ πατρὸς, ἢ δοῦλον ὑπὲρ δεσπότου. οὕτω γὰρ ἑνὶ ὀνόματι προσαγορεύονται παῖδες. περὶ δὲ τὴν πολυωνυμίαν ἀνάπαλιν, ὅταν τὸ σημαινόμενον ἓν, τὰ δὲ ὀνόματα πολλά· οἷον, ἄορ, ξίφος, φάσγανον, μάχαιρα. ἀσάφεια γὰρ καὶ οὕτω γίνεται, ὅταν οἴεταί τις ἴσα τοῖς ὀνόμασιν εἶναι τὰ σημαινόμενα. περὶ δὲ τὴν σύνταξιν. οἷον, ἐπειδάν φησι πιττακὸς νέμεσθαι

πατρῷα καὶ μητρῷα τὴν ἴσην. ἀμφιβάλλει γὰρ καὶ ἤδε ἡ λέξις. ἆρα γὰρ τοὺς παῖδας λέγει νέμεσθαι τὰ τῶν γονέων, ἢ τοὺς γονεῖς τὰ τῶν παίδων. καὶ ἔτι ὅταν ἐν μέσῳ τι κείμενον ὄνομα, δύναται συντασσόμενον ἢ τοῖς πρὸ αὐτοῦ, ἢ τοῖς μετ᾽ αὐτὸ, διάφορον διάνοιαν ἀποτελεῖν· οἷον, ὁ νικήσας ἐν πολέμῳ στρατηγὸς ἀνατιθέτω τοῦ ἄρεως ἄγαλμα χρυσοῦν ἔχον δόρυ. ἔστι γὰρ τὸ λεγόμενον, ἤτοι ἄγαλμα χρυσοῦν, ἢ δόρυ. περὶ δὲ τὴν σύνθεσιν, καὶ διαίρεσιν, ἥν τινες περὶ τὴν κοινὴν τοῦ διῃρημένου καὶ τοῦ ἀδιαιρέτου φασὶν, οἷον ὥσπερ τὸν κλῆρον ἔρχεσθαι νόμου κελεύοντος, ἀδελφοὺς, παῖδας. ἔστι μὲν γὰρ διαιροῦντας φάναι, πρῶτον μὲν καλεῖσθαι τὸν ἀδελφὸν, εἰ δὲ μὴ οὗτος εἴη, τότε τοὺς παῖδας παρεῖναι. ἔστι δὲ καὶ συνθεῖναι, λέγοντας ἅμα καλεῖσθαι αὐτούς. καὶ πάλιν, ὁ ψευδομαρτυρῶν ἄλλους, τρὶς χιλίας διδότω. ἤτοι γὰρ λέγει, ὁ τρὶς ἄλλους ψευδομαρτυρῶν. χιλίας διδότω, ἢ τρισχιλίας διδότω ἅπαξ ἄλλους. περὶ πλεονασμὸν δὲ γίνεται ἀσάφεια, ὅταν δυνατὸν ᾖ πλέον τι τοῦ γεγραμμένου συλλογίζεσθαι, ὡς καὶ αὐτὸ δυνάμει δηλούμενον, εἴ τις νομοθετήσειε κληρονομεῖν καὶ τοὺς πρὸς μητρός· ἀμφισβητήσειε γὰρ, ἂν καὶ ἡ μήτηρ, ὥστε εἰ τοὺς πρὸς μητρὸς νόμους κληρονομεῖν,

ρονομεῖν,

κληρονομεῖν, καλεῖ, πολὺ πρότερον αὐτὴν τὴν μητέρα καλοίη. ἡ δὲ παρ᾽ ἔλλειψιν ἀσάφεια, γίνεται πολλαχῶς· οἷον, ὁ πατροτύπτης χειροκοπείσθω. ἐλλείπει γὰρ, πότερον καὶ τὸν διὰ ἄνοιαν, ἢ καὶ τὸν ἐπ᾽ εὐνοίᾳ, καὶ πάντας ἁπαξαπλῶς. ἡ δὲ κατὰ πρόσωπον ἔλλειψις, πολυειδής ἐστι. διαφέρει γὰρ δή που τὰ πρόσωπα, καὶ φύσει, καὶ ἡλικίᾳ, καὶ ταῖς ἐγγυτέρω συγγενείαις, καὶ τύχῃ· οἷον, τὸν προδότην συναναιρεῖσθαι σὺν παῖδας. οὐ γὰρ διώρισται, εἰ καὶ τὸν θετὸν, καὶ τὴν θήλειαν. λείπει.

ΤΕΛΟΣ ΤΩΝ ΘΕΟΝΟΣ προγυμνασμάτων.

ΠΑΡΑΔΕΙΓΜΑΤΑ ΤΩΝ ΠΡΟΕΚΤΕΘΕΝ-των γυμνασμάτων.

ΜΥΘΟΣ ΠΡΩΤΟΣ.



ΟΙ ΛΥΚΟΙ παρὰ τῶν προβάτων, εἰρήνην καὶ ἡσυχίαν ᾔτουν. καὶ ἤδη ἡ ἡμέρα μεγάλων ἄρξει ἀγαθῶν ἡμῖν τε καὶ ὑμῖν, ἔλεγον. ἀπαλλαγεῖσι γὰρ πολέμου καὶ κακῶν, ἔξεσαι παρ᾽ ἀλλήλους φοιτᾶν ἀδεῶς. σπενδώμεθα τοίνυν. ἀλλ᾽ εἰ μέλλοι τι βέβαιον ἔσεσθαι ταῖς σπονδαῖς, καὶ οὐ γράψαντες αὐτίκα λύσομεν, τοὺς πονηροὺς καὶ πολεμίους κύνας ἀποδιωκτέον ὑμῖν, ἐπεὶ καὶ νῦν παρὰ τούτων ἡ ταραχὴ, καὶ τὸ ὑποπτεύεσθαι τοὺς λύκους. πολλάκις γὰρ ἁπλῶς παριόντας ἡμᾶς τὰ ποίμνια, προεκπηδῶντες ὑλακτοῦσιν. οἱ δὲ οὐ σφόδρα θέλοντες, παροξύνονται, καὶ λυποῦσι. τί οὖν ὑμῖν δεῖ κυνῶν, εἰρήνης οὔσης πρὸς λύκους; ὑπήχθη τὰ πρόβατα, τοῖον γὰρ τὸ γένος εὐηθείας γέμον, καὶ οἱ κύνες

ἐπι

ἀπεσκορακίζοντο, καὶ ἐφεστήκεσαν οἱ λύκοι. τὰ δὲ ἔρημα κατησθίετο τοῖς ἐχθρῶν λόγοις, οὐ προδοτέον τὴν προσήκουσαν φυλακήν.

ΜΥΘΟΣ β'.



ΣΕΜΝΟΣ ἦν ὁ ἵππος ἐπὶ τῷ τάχει, καὶ ἀπέκναιε τὰ ἄλλα ζῶα, σφόδρα ἑαυτὸν ἐπαινῶν, μάλιστα δὲ τὴν χελώνην. λυπηρὸς δὲ ἦν, προφέρων τὴν βραδύτητα. ἡ δὲ ἤλγησε τοῖς ὀνείδεσι, καὶ ποιεῖται πρόκλησιν εἰς δρόμον. τῷ δὲ ἵππῳ γέλως τε ἦν ἡ πρόκλησις. καὶ οὐκ ἠξίου διαμιλλᾶσθαι. γέλωτος δέ τι καὶ τοῖς ἄλλοις ζώοις ἐνέπεσεν εἰς τὸ παράλογον ὁρῶσι τῆς φύσεως. ἐγκειμένης δὲ τῆς χελώνης, καὶ διισχυριζομένης ὡς περιέσται, ἀναγκάζει τὰ ἄλλα ζῶα τὸν ἵππον μὴ ἀπαρνηθῆναι τὴν ἀγωνίαν. ἀποδείκνυται δὴ τὸ στάδιον, καὶ ἡμέρα τοῦ δρόμου, καὶ τὸ ἐντεῦθεν ὁ μὲν ἵππος ἐτρύφα παρὰ τῇ φάτνῃ, τῇ δὲ χελώνῃ μελέτη ἦν συνεχής, καὶ οὐδὲ νυκτὸς προϊούσης ἔληγεν. ἧκε δὲ ἡ κυρία, καὶ μεστὸν ἦν τὸ θέατρον, καμήλων, ὄνων, ὀρνέων, οἷς τε ἄνθρωποι χρῶνται, καὶ ἐλάφους συνήγαγεν ἡ φήμη,

φήμη, καὶ ἐμειδία τὸ θέατρον ὡς παραπαιούσης τῆς χελώνης. ἐπεὶ δὲ ἤρθη τὸ σημεῖον, καὶ θεῖν ἐχρῆν, ὁ μὲν ἵππος πεπεδημένος, ὥσπερ καὶ πρώην, ἔμενεν ἐν ἀργείᾳ τε καὶ κόρῳ· τῇ δὲ ἡ μελέτη τάχος ἐδεδώκει, καὶ νίκην. καὶ σύ, ὦ παῖ, μὴ τῇ φύσει πιστεύσας καθεύδε, ἀλλ' οἴου καὶ πόνου δεῖν· εἰ δὲ μή, παραδραμεῖταί ῥᾳδίως ἐκεῖνος, οὐκ εὖ πεφυκώς.

ΜΥΘΟΣ γ'.



ΔΟΞΕ τῷ Διὶ βασιλεῦσαι καὶ τὸ ὀρνίθων γένος, καὶ διὰ τοῦ ἑρμοῦ πρὸς ἀγῶνα κάλλους ἐκάλει, ὡς δώσων τῷ καλλίστῳ φανέντι τὴν ὀρνίθων ἀρχήν. ἐκκαλλωπίζετο γοῦν τὰ ὄρνεα, τὰ μὲν ἐν κρήναις, τὰ δὲ ἐν πηγαῖς τε καὶ λίμναις, καὶ τῶν πτερῶν ἐξεκαλεῖτο ὁπόσα ἑαυτοῖς ὥραν οὐκ ἔφερον. ὁ δὲ κολοιὸς (ἦν γὰρ ἄμορφος) ἐπιτεχνᾶται τοιάδε. τὰ πτερὰ ὁπόσα ἐπέπλει τοῖς ὕδασιν αἱρούμενος, ἕκαστον ἑαυτῷ προσετίθει, συναρμόττων σοφῶς ἄλλο ἐπ' ἄλλῳ, καὶ χρῆμα ποικιλόπτερον γίγνεται. καὶ ὡς ἧκεν ἤδη τὴν κρίσιν, ἐπέστρεφε μὲν τῶν ὀρνέων τὰ ὄμματα· θάμβος δὲ ἐνέβαλ

λε καὶ αὐτῷ τῷ δικαστῇ. ὥστε ὑπεχώρει μὲν αὐτῷ καὶ ὁ λευκότατος κύκνος· μικρὸν δὲ ὁ ταὼς ἐδόκει, καὶ αἱ τούτου βαφαὶ, κατεπεφρόνητο δὲ καὶ ἀετῶν ἡ σεμνότης. μέλλοντος δὲ ἤδη τοῦ διὸς αὐτῷ ἐγχειρίζειν τὸ σκῆπτρον, ἡ γλαὺξ ἰδοῦσα τὸ ἑαυτῆς ἐν τῷ κολοιῷ πτερὸν, προσιοῦσα ἀπέσπασε, καὶ ἄλλος τὸ ἑαυτοῦ, καὶ πᾶς τὸ οἰκεῖον. ἀπελθόντων δὲ τῶν ἀλλοτρίων, ἐγυμνοῦτο τοῦ κολοιοῦ τὸ εἶδος. καὶ ἐγελᾶτο τὸ μὴ τοῖς οἰκείοις κοσμεῖσθαι, βραχεῖαν μὲν τὴν ἀπόλαυσιν, πολλὴν δὲ ἐλεγχθέντι ποιεῖ τὴν αἰσχύνην.

ΔΙΗΓΗΜΑ α.



ΗΙΑΝΕΙΡΑΝ τὴν οἰνέως ἐβούλετο μὲν γαμεῖν ἡρακλῆς. εἶχε δὲ τὸν ποταμὸν ἀχελῷον ἔρως τῆς κόρης. ὁ δὲ ἀμφοτέρας δεδοικὼς, οὐδετέρῳ χαρίζεται. στήσας οὖν ἆθλον τὴν θυγατέρα, διαγωνίζεσθαι ἐκέλευε. καὶ ἡρακλῆς ἐνίκα παλαίων, τὸ κέρας ἀνασπάσας τοῦ ποταμοῦ, καὶ τὸ αἷμα ἔῤῥει, ἀφ' οὗ σειρῆνες ἐγένοντο.

ΔΙΗΓΗΜΑ

ΔΙΗΓΗΜΑ β'.



ΚΟΥΕΙΣ ἄνθος ὑακίνθινον, τοῦτο ἦν πάλαι μειράκιον ἀμυκλαῖον, καὶ καλόν. ἐρασταὶ δ' αὐτοῦ γεγόνασι δύο, ζέφυρός τε καὶ ὁ λητοῦς. ἐπεὶ δὲ ἐχαρίζετο τῷ θεῷ, βουλεύει φόνον ὁ ζέφυρος ἐπ' αὐτῷ, καὶ τηρήσας ἀφιέντα δίσκον, ἐπαιδεύετο γὰρ ὑάκινθος ἀπόλλωνι τὰ τοιαῦτα, πλεῖ τε ἀπὸ τοῦ ταϋγέτου, καὶ περιτρέπει τῷ μειρακίῳ τὴν βολὴν, καὶ τὸ μὲν ἔκειτο. ἡ δὲ γῆ ἤλεει τὸ πάθος, καὶ ἀνίει τὸ ἄνθος.

ΔΙΗΓΗΜΑ γ'.



ΡΩΣ ἅπτεται ποταμοῦ. πόθον οὖν ἐμβέβληκεν ἀλφειῷ, σικελικῆς πηγῆς ἀρεθούσης τοὔνομα. πληγεὶς δὲ ἔρχεται διὰ ἰονίου παρ' αὐτὴν, φυλάττων ἀμιγὲς καὶ ἐν θαλάττῃ τὸ ῥεῖθρον.

ΧΡΕΙΑ α'.

Ἀλέξανδρος ἐρωτηθεὶς ὑπό τινος, ποῦ ἂν ἔχοι τοὺς θησαυροὺς, τοὺς φίλους ὑπέδειξεν.



ΤΙ μὲν μέγας καὶ θαυμαστὸς ὁ βασιλεὺς μακεδόνων ἀλέξανδρος, καὶ τὴν ἤπειρον ἑκατέραν τῶν αὐτοῦ κατορθωμάτων

ἐνέ

τῶν γῆν ἔπλησε, καὶ τοσοῦτον τοὺς ἐμποδὼν καὶ τοὺς ὕστερον παρήνεγκεν, ὡς πρώτου χώραν μὴ δοῦναι, πάντας ἡγοῦμαι συμφῆσαι, πλὴν εἴ τις ἢ παντάπασιν ἀναισθήτως, ἢ λίαν ἀγνωμόνως ἔχοι. ἐμοὶ δὲ δοκεῖ † καλὰ πρᾶξαι καὶ παραδοῦναι τοῖς ἐσομένοις ὑμνεῖν, οὐ τύχῃ μόνον, ἀλλὰ καὶ συνέσει χρησάμενος πρὸς ἅπαντα, καὶ τῇ παρ᾽ ἐκείνης ῥοπῇ τὰ παρὰ τῆς φρονήσεως ἀγαθὰ συνεισενεγκών. οὐ γὰρ ταυτὸν ἔπαθε τοῖς ἄλλοις βασιλεῦσιν, οἷς ἄχρηστος μὲν ἡ παιδεία κέκειται, τῆς δὲ εὐδαιμονίας ὅρος ἡ τρυφή, ἀλλ᾽ ἡγησάμενος οὐδὲν διαφέρειν τοὺς ἀμοιροῦντας τούτου τοῦ κτήματος τῶν ἀνδραπόδων, καὶ βουληθεὶς ἀμείνων εἶναι τῶν ἀρχομένων ἐν τοῖς καλλίστοις τῶν ὄντων, ἀριστοτέλει φέρων ἑαυτὸν συνῆψε, καὶ κατέστησε τοῦ σοφωτάτου μαθητήν, καὶ τῶν μετὰ ταῦτα λαμπρῶν καὶ βεβοημένων ἡ πρὸς ἐκεῖνον συνουσία τὴν ὑπόθεσιν δέδωκε. περὶ μὲν οὖν τῆς ἀνδρίας, ἢ τῆς δεινότητος, ἢ τοῦ πρὸς ἔργοις ἔχειν δεῖν τὸν λογισμόν, ἢ τι τῶν τοιούτων εἰ διεξίοιμι, μακροτέρων ἂν δέοι λόγων. ὡς δὲ κοινὸν ἑαυτὸν κατέστησε καὶ πρὸς τοὺς συνόντας ὁμιλητικόν, ὥστε καὶ ἐρέσθαι τοῖς βουλομένοις ἐξεῖναι, καὶ τυχεῖν ἀποκρίσεως εὐμενοῦς, τοῦτο τίς οὐκ ἂν ἀγασθείη; τοῖς μὲν γὰρ ἄλ-

κάλλιστα καλὰ

λοις εἰ τοῖς ἀντελείψειεν, ἀδίκημα νενόμισται. ἀλέξανδρος δὲ εἰ μὴ πρὸς τὰς εὐεργεσίας ἡμερώτερος φαίνοιτο, πάντων αἴσχιστον ἡγεῖτο. καὶ γάρ τοι προσελθών τις, ἥδιστα ἂν ἔφη τοὺς θησαυροὺς ἴδοιμι τοὺς σοὺς ὦ βασιλεῦ, καί μοι δοκεῖ τοῦτο ἐπαρθῆναι ποιῆσαι, ὁρῶν μὲν ἅπαν ἔθνος ἤδη κατεστραμμένον, ἡγούμενος δὲ πλήθει χρημάτων ταῦτα εἰς τέλος ἥκειν. πῶς οὖν ἀλέξανδρος οὐχ ὑβρίζειν ὑπέλαβεν, εἴ τις ἐρωτήσει προχείρως; ἔπειτα ἐκέλευσε τοῖς διακόνοις λαβοῦσι τὸν ἄνθρωπον περιάγειν, καὶ δεικνῦναι οὐ χρυσίου πλῆθος, ἀργυρίου τάλαντα τόσα καὶ τόσα, λαφύρων ἀφθονίαν, ἀλλ' εἰς τοὺς φίλους προσάξας ἰδεῖν, μὴ ζητήσῃς ἕτερον φησὶν ἀλέξανδρος· οὗτοι γάρ ἐμοὶ θησαυροί. ὡς τοίνυν εἰκότως ταύτην ἡγήσατο πρέπειν τὴν προσηγορίαν τῇ φιλίᾳ, ῥᾴδιον γνῶναι, εἴπερ ἐξετάσομεν τούς τε καιροὺς οἷς ἀνάγκη χρῆσθαι τοὺς ἀνθρώπους, καὶ τύχας ἀμείνους καὶ παραπλησίους, καὶ χείρονας. ἔτι δὲ πρὸς τοὺς τῆς ἡλικίας, καὶ ὅτε τις βουλεύεται. οὐκοῦν δύο μὲν καιροὶ πάντα διαιτῶσι τὰ τῶν ἀνθρώπων πράγματα, λέγω δὴ πόλεμον καὶ εἰρήνην. ἑκατέρων δὲ μέγιστον ἡ τῶν φίλων ἰσχύει μοῖρα. οἷον, τοῖς πολεμοῦσι δεῖ μὲν χρημάτων, δεῖ δὲ ὅπλων, δεῖ δὲ

συμ-

συμβούλων, δεῖ δὲ συμμάχων. οὐκοῦν λύει μετὰ τὴν ἀπειρίαν τῶν χρημάτων εἰς μέσον τιθεὶς τὰ ὄντα ὁ φίλος, οὐκ αὐτοῦ μᾶλλον ἡγούμενος εἶναι τὴν οὐσίαν, ἢ τοῦ συνήθους, συμβουλίας τὰς ἀρίστους ἀναζητῶν, καὶ λέγων ἐκείνας ὀρθοῖ τὰ πράγματα, ἤδη δέ τινες ὅπλων ἀρξόντες εἰς τοὺς φίλους ἰόντες ἠπόρησαν. καὶ μὴν τόγε τῶν συμμάχων ἀγαθὸν, καὶ φιλίας ἡγησαμένης ἂν γένοιτο· τὸ δ' αὐτὸ καὶ πόλεσι καὶ τοῖς καθέκαστα χρήσιμον. καλῶ μὲν γὰρ ἔγωγε πόλεων φίλους, τοὺς εὔνους τοῖς καθεστηκόσιν· οὗτοι δὲ νόμους τιθέντες, καὶ ψηφίσματα γράφοντες, καὶ γνώμας ἀγορεύοντες, καὶ τοὺς ἀδικοῦντας ἐλέγχοντες, καὶ τοὺς χρηστοὺς ἀμείβεσθαι πείθοντες. ἀλλὰ μὴν καὶ τοῖς καθέκαστον μέγα παρὰ τῶν ἐπιτηδείων τὸ κέρδος. ἐκεῖνοι γάρ εἰσιν οἱ νουθετοῦντες ἁμαρτάνοντας, οἱ σφαλλομένοις ἐπὶ τὰ βελτίω μεθιστάντες, οἱ δεομένοις ἐπικουροῦντες, οἱ ταῖς εὐπραξίαις χαίροντες, οἱ τοῖς ἀτυχοῦσι συναλγοῦντες. ἐκεῖνοι καὶ πολέμους καταλύειν πειρῶνται ὡς ἄριστα, καὶ τὴν εἰρήνην ὡς ἐπιπλεῖστα φυλάττειν, καὶ τὸ πρόσφορον ἑκατέρῳ συντηροῦντες, ἀεὶ τὰ συνόντα πράττοντες. ἀλλὰ μὴν πόλεων τὰς

μὲν βασιλεύεσθαι, τὰς δὲ δημοκρατεῖσθαι συμβέβηκεν, τὰς δ' ἐν ταῖς ὀλιγαρχίαις καθεστάναι. ὁ δὲ τοῖς ὑπάρχουσιν οἰκείως ἔχων, σώζει μὲν βασιλεῖ βασιλείαν, τηρεῖ δὲ δήμοις τὴν ἐλευθερίαν, φυλάττει δὲ ταῖς ὀλιγαρχίαις τὸ σχῆμα. ἀλλὰ μὴν τῶν ἀνθρώπων οἱ μὲν πενίᾳ συζῶσιν, τοῖς δὲ πολὺς παρὰ τῆς τύχης ὁ πλοῦτος. ἑκάτερον δὲ δεῖται πρὸς ὑπερβολὴν τῆς τῶν φίλων ῥοπῆς. τοῖς μὲν γὰρ διασώζει τὰ ὄντα, τοῖς δὲ τὴν πενίαν ἐπικουφίζει. καὶ μὴν ἄγε δ' ἡμῶν αὐτῶν πράττειν ἀδύνατον, ταῦτα τῇ φίλων προσθήκῃ πληροῦμεν. τίς γὰρ οὐκ οἶδεν, ὅτι δεῖται μὲν γυναικὸς ἀνὴρ κατὰ τὸν Ἡσίοδον, αὐτοὶ δ' οἱ γαμεῖν μέλλοντες ἐρυθριάσαιεν ἂν ὑπὲρ τοῦ γάμου διαλεγόμενοι. ἐνταῦθα δὴ τὸν ἐπιτήδειον ἡ χρεία καλεῖ. ὁ δὲ πολλοὺς καὶ καλοὺς μελετήσας λόγους, καὶ τὰ ὄντα ἄρας, καὶ τὰ οὐκ ὄντα προσθεὶς, ῥᾷστα συνάπτει τὰ γένη. ἀλλ' ἐν ταῖς ἀποβολαῖς τῶν παίδων καὶ τῶν ἀναγκαιοτάτων, οὗ πολλάκις τὸ πάθος μεῖζον ἢ φέρειν, τίνες οἱ παρόντες καὶ τῆς λύπης ἀφαιροῦντες, καὶ κωλύοντες ὁρμῆσαι πρὸς ξίφος, οὐχ οὗτοι; πῶς ἂν φύγοιεν, ὅσοις οὐκ ἄπειρος φίλων; ἐπεὶ δὲ καὶ πᾶσαν ἡλικίαν ἔγωγ' ἂν φαίην μέγιστα τοῦ πράγματος ἀπολαύειν, τὸ

γῆρας

γῆρας ἐκεῖθεν κουφότερον τοῖς ἀκμάζουσιν ἀπὸ τούτων οἱ συνεργοὶ, τοῖς παισὶν οὐχ ἑτέρωθεν οἱ τῶν ἀσκήσεων κοινωνοί. οὕτως οὐδέν ἐστιν, ὃ φαίης ἂν ἔξω καθεστάναι τῆς παρὰ τῶν συνήθων χρείας.

ἔστι μὲν οὖν οὐδὲ ταῦτα μικρὰ παραδείγματα τοῦ σώφρονα ἀποκρίνασθαι τὸν ἀλέξανδρον. δοκεῖ δ᾽ ἄν μοι τις ἰδεῖν ἀκριβέστερον, ἡλίκον τὶ πρᾶγμα τὸ τῶν φίλων, εἰ τοὺς ἐστερημένους ἐκείνων σκέψαιτο. οὐκοῦν ὁ μὲν τύραννος ἐν φόβῳ βέβαιον μὲν οὐδὲν τῶν παρόντων ἀγαθῶν ἡγούμενος, ἀεὶ δὲ τὸ μέλλον προσδοκῶν χαλεπόν. ᾧ γὰρ οὐκ ἔστι σύμβουλος ἀπείρξων μὲν τοῦ χείρονος, προτάξων δὲ τῷ βελτίονι, καὶ πείσων τὰ μὲν φεύγειν, τὰ δὲ διώκειν, πῶς ἂν ὁ τοιοῦτος ἢ πολεμήσειεν ὅτ᾽ ἄμεινον, ἢ ποιήσειεν τὴν εἰρήνην ὅτι βέλτιον ἔχει, παρὰ τοῦ δ᾽ ἂν τοὺς ἐπιβουλεύοντας προμαθὼν ἀποκρούσαιτο πρὸ τῆς πείρας τὰ δυστυχῆ; τίς δ᾽ ἂν αὐτοῦ νενικηκότος συμπαιανίσειε, τίς δ᾽ ἂν ἡττωμένῳ συναχθεσθείη; τῇ πόλει δὲ κηδεμόνος ἀποροῦσι, τίς τῶν ὄντων ἀσφάλεια, τίς ὑπὲρ τοῦ μέλλοντος ἄδεια εἶεν; τοῖς δὲ δὴ καθέκαστον, οὐκ ἀλγεινότατος ὁ βίος, τῆς τοιαύτης κοινωνίας ἐστερημένος; τίς ἐπ᾽ ἀγορᾶς διαλέξεται, τίς ὅ τι χρὴ πράττειν ὑποθήσεται, τίς ὅτι φυλάξασθαι δεῖ συμ-

συμβουλεύσειεν, τίς κουφίσει συμφοράν, τίς κρινομένῳ παρέσται; ἀφῄρηται καὶ τὴν νεότητος ἡ τέρψις ἄνευ φίλων, καὶ γῆρας βαρύτερον εἰ τοῦτο ἀφέλοι τις, καὶ πενία μὴ τοῦτο ἔχουσα διπλοῦν ἂν εἴη κακόν. ὁ δέ γε πλούσιος τοὺς μὲν ἐπιβουλεύοντας πολλοὺς, τοὺς δὲ βοηθοῦντας οὐδαμῶς ὄψεται. καὶ πολλὰ ἂν εἴη λέγειν αὐτοῖς ἀκροοῦσι φίλων συνέζευκται χαλεπά. εἰ τοίνυν τοῖς σπανίζουσι φίλων τοιαῦτα περιέστηκε τὰ δεινὰ, τοῖς γε ἐν εὐπορίᾳ γνωρίμων ἡ εὐδαιμονία πολλή. παραπλησίως τοῖς μὲν ἥδιστος, τοῖς δὲ βαρύτατος ὁ βίος. καὶ μὴν εἰκότως ἂν μᾶλλον οἱ φίλοι θησαυροὶ προσαγορευθεῖεν, ἢ ταῦτα ἃ νῦν κέκληται. τί γὰρ τοιοῦτον παρὰ τῶν χρημάτων, ὅσον τὸ παρὰ τούτων, παρετάξατο χρήματα πολεμοῦσι καὶ παρεκινδύνευσεν; οὐκ ἔστιν. ἀλλ' εἰσηγήσατο γνώμην; ἀλλὰ κατεμήνυσεν ἐνέδραν; ἀλλ' ἔλυσε στάσιν, ἀλλὰ φρονιμώτερον ἐποίησεν; οὐδαμῶς. καὶ μὴν πάντα γε ταῦτα, καὶ ἔτι πλείω τούτων παρὰ τῶν ἐπιτηδείων, καὶ πρός γε αὐτὰ τὰ χρήματα, καὶ παρ' αὐτῶν γένοιτ' ἄν. ἔτι τοίνυν οἱ μὲν ἄριστοι τῶν φίλων, οὐδεπώποτε χείρους τοὺς χρωμένους ἐποίησαν. τὸν δὲ πλοῦτον ἀκούομεν πολλάκις εἰς κακίαν συντελεῖν, ὥσ-

τοῦ νουνεχόντως Ἀλέξανδρος μετέστησεν ἀπ' ἐκείνων ἐπὶ τούτοις τοὔνομα. διόπερ ἀεὶ φίλων δεῖ τοῖς μέλλουσι εὐδαιμόνως βιώσεσθαι. ὅτῳ δὲ οὐκ ἔστι τοιοῦτον κτῆμα, παραπλήσιον εἴη πεπονθὼς περὶ τὰς ἑτέρας ἐστερημένῳ τοῖν χεροῖν. ὅσον γὰρ ἀλλήλοις οἱ πόδες ἐν τῷ βαδίζειν συνεισφέρουσι, τοσοῦτον ἐν τοῖς πράγμασιν οἱ φίλοι παρέχονται. οὐχ ἁμάρτοι δ' ἄν τις οὐδὲ τὴν συζυγίαν τῶν ὀφθαλμῶν παραβαλὼν τῇ κοινωνίᾳ τῶν φίλων. ἔστι μὲν οὖν καὶ παρὰ τῶν καθ' ἡμέραν γινομένων πλῆθος ἀποδείξεων λαβεῖν· καὶ μεστὸς ὁ βίος τῶν εἰς ἴσον φρόντων. ἔχοι δ' ἄν τις καὶ πρὸς τοὺς ἄνω χρόνους τῶν ἡμιθέων ὁρῶν, ἀπ' αὐτῶν κομίσαι τὰ παραδείγματα. τί γὰρ ἐνδοξότερον τῆς Ἡρακλέους καὶ τῆς Θησέως φιλίας; ἢ τί τῶν κατορθωμάτων αὐτοῖς; οὐ γὰρ ταὐτὸ προελέσθαι τε καὶ φρονῆσαι παραπλήσιοι, καὶ συμπονῆσαι πρὸς τοὺς ἄθλους. ὅτε δὲ ἀναστροφῆς ἐδέησεν αὖθις τῷ Ἡρακλεῖ, τίς ἀγαγὼν αὐτὸν ἀθήναζε πρὸς τὴν χρείαν ἤρκεσεν. ὁ Θησεύς; αὐτὸς τοίνυν τοὺς Πειρίθῳ χρώμενος, ἐξετάσομεν ἅ τε ἀπέλαυσεν, ἅ τε παρέσχεν. οὐκ οὖν ἔδει μὲν τῷ Θησεῖ τὴν Ἑλένην γενέσθαι διὰ ἁρπαγῆς. ἐπεί γε πειθὼ οὐκ εἶχε λαβεῖν, ἦν δὲ ὁ κίνδυνος οὐ μικρός, τὸ μὲν ἐκ τοῦ πατρός, τὸ δὲ ἐκ τῶν ἀδελφῶν καὶ τῶν ἄλλων τῶν ἐν

λακεδαίμονι. ἀλλ' ὅμως ἐτόλμα θησεὺς, οὐκ ἀ-
πελείπετο δὲ πειρίθους τὴν χάριν πρὸ τῶν φόβων
τιθέμενος. καὶ οὐκ ἐμέμψατο τὴν προθυμίαν·
ἀλλὰ τάχιστα δὴ τὴν ἀντίδοσιν ἐκομίζετο. βου-
ληθεὶς γὰρ μνηστεῦσαι κόρην τὴν διὸς καὶ δήμη-
τρος, ἐκέλευσε τὸν μὲν θησεῖ συνακολουθή-
σειν. ὁ δὲ τὰ μὲν πρῶτα κατέχειν ἐπειρᾶτο,
πρόδηλον εἶναι λέγων τὴν συμφοράν. ἐπεὶ δὲ
πείθειν λέγων οὐκ ἴσχυε, ἐκοινώνει τῶν κινδύνων,
εἰδὼς μὲν ἃ πείσεται, παθεῖν δὲ μᾶλλον αἱρού-
μενος ἢ λυπῆσαι τὸν φίλον. τὸν δὲ παῖδα τοῦ
ἀγαμέμνονος, πῶς ἀκούομεν διατεθεῖναι μετὰ
τὸν φόνον τῆς μητρός; οὐκ ἠλαύνετο μὲν ὑπὸ τῶν
ἐριννύων, ἐμισεῖτο δὲ ὑπὸ τῶν ἰδίων, ἐπάρατος
δὲ καὶ δυσσεβὴς ἐδόκει παρὰ πᾶσι καὶ μια-
ρώτατος εἶναι; ἀλλ' ὅμως ὁ πυλάδης οὐκ ἀπε-
στράφη μετὰ τῆς τύχης τὸν ἄνθρωπον, οὐδὲ ἐνθυ-
μηθεὶς ὡς μεταλήψεται τῆς ἀδοξίας ἐγκαλυ-
ψάμενος ἔφυγεν, ἀλλὰ παρῆν καὶ συνηκολού-
θει καὶ συνηγωνίζετο, καὶ θεραπεύειν οὐκ ἠσχύ-
νετο τὸν αὐτόχειρα τῆς μητρός. μικρὰ ταῦτα, πρὸς
τὴν ἀχιλλέως γνώμην κρινόμενα. ἐκεῖνος γὰρ,
ἤδη σαφῶς ἀκούσας, ὡς δεῖ δυοῖν θάτερον, ἢ
τὸν ἕκτορα μὴ διαφθείρειν, ἢ καὶ αὐτὸν τεθνά-
ναι. ἀλλ' ὅμως ἔμπροσθεν τῆς ἑαυτοῦ ψυχῆς ἐποιή-

σατο,

ϛαὶ, τιμωρῆσαι πατρόκλῳ. αὕτη μὲν ἡ τῶν πραγμάτων ἀλεξάνδρου τιμωρία. δεῖ δὲ μὴ Εὐριπίδην παραλιπεῖν. πάντως δὲ οὐκ ἀμφισβητήσιμος ἡ σοφία τοῦ ποιητοῦ. τί οὖν ἐκεῖνος φησί; μηδὲν εἶναι πολυμότερον φίλου σαφοῦς; ὃ δὴ πᾶν ἐφεξῆς ἄριστον, ἐπειδὴ τοὺς ἀνθρώπους ἑώρα πλοῦτον καὶ τυραννίδα θαυμάζοντας, διαῤῥήδην φησίν, ὁ πλοῦτος, ἡ τυραννίς, τοῦδε βέλτιον. εἰκότως ἄρα θησαυροί τε γνομίσθησαν ἀλεξάνδρῳ, καὶ ὠνομάσθησαν οἱ φίλοι. ἔστι τοίνυν ἐχόντων νοῦν, κἀκεῖνον ἐπαινεῖν τοῦ λόγου, καὶ αὐτοῖς μιμεῖσθαι τοῖς ἔργοις. ὡς οὐκ ἔσθ' ὅπως εὐδαιμόνως βιώσομεν, εἰ μὴ φίλων πολλῶν καὶ ἀγαθῶν εὐποροῖμεν.

Διογένης μειράκιον ἰδὼν ἀτακτοῦν, τὸν παιδαγωγὸν ἔπαισεν, εἰπών, τί γὰρ ταῦτα παιδεύεις.

ΧΡΕΙΑ ΑΛΛΗ.



ΠΑΣΑ μὲν ἡ φιλοσοφία τίμιον καὶ δαιμόνιον. καί μοι δοκοῦσιν οἱ τοὺς ἐν αὐτῇ ζῶντας μὴ θαυμάζοντες, ἴσως ἂν πάν-

των τῶν θεῶν ὀλιγωρῆσαι. χρὴ δὲ τοῦτον αὐτοὺς τῶν λοιπῶν διαφέρειν, ὅσον περ ἐκείνους τῶν θηρίων. τῶν δ' αὖ τὸν ἠρημμένων τὸν βίον, εἰκότως ἂν μοι δοκεῖ Διογένης τε διαφερόντως ἀγασθῆναι, καὶ τὴν ὁδὸν ἣν οὗτος ἦλθε. τὸ μὲν γὰρ οὐρανοῦ τε καὶ γῆς μέτρα, ἡλίου τε καὶ σελήνης διορίσασθαι, ἄλλοις ἀφῆκεν. αὐτὸς δὲ μετῆλθεν ἀρετήν, ἣ μάλιστα τοὺς ζῶντας ὀνήσειν ἔμελλε· πλούτου κατεφρόνει, τῶν ἡδονῶν ἐκράτει, τὸ σῶμα παρεῖχε τοῖς πόνοις, τὴν τῶν δυνατῶν εὐδαιμονίαν δυστυχίαν ἐνόμιζε. πάντας δὲ ἀνθρώπους οἰκείους ἡγούμενος, ἐπεμελεῖτο πάντων· καὶ συλλήβδην εἰπεῖν, Ἡρακλέους ἑαυτὸν ζηλωτὴν κατέστησεν, αὐτῇ βακτηρίᾳ περιιὼν μετὰ τοῦ βελτίω ποιεῖν οἷς ἐντυγχάνοι. οἷον δ' αὖ κἀκεῖνο διεπράξατο; παιδὶ μὲν γὰρ ὁ παιδαγωγὸς παρῆν, τὸν δὲ προσήκοντα κόσμον ὁ παῖς οὐκ ἐφύλαττε. Διογένει δὲ τὸ πραττόμενον ἐπανορθώματος ἐδόκει δεῖσθαι. τί οὖν ποιεῖ; τὸν μὲν νέον ὑπερβάς, μετὰ τὸν ἐφεστηκότα φέρεται, καὶ παίει κατὰ νώτου πολλάς, καὶ προστίθησι ταῖς πληγαῖς τὸν λόγον· ὡς οὐκ ἄρα χρὴ τοιοῦτον εἶναι παιδευτήν. πρὸς αὐτὸν δὴ οὖν ἀμφοτέρων εἵνεκα τὸν ἄνδρα ἐπαινῶ· τοῦ τε μὴ κατοκνῆσαι ταῖς χερσὶ χρήσασθαι

τῶν κρατεῖν

πρὸς

πρὸς τὸ σωφρονῆσαι, καὶ τὴν τὴν αἰτίαν εἰπεῖν, δι' ἣν τοῦτο πεποίηκε. τούς τε γὰρ σφόδρα ἀδικοῦντας ἔργῳ παιδεύειν ἠξίου, τό τε μὴ σιωπῆσαι, καὶ τὸ πόθεν ἐπὶ τὰς πληγὰς παρωρμήθη, δηλοῦντός ἐστι τῷ πεπονθότι τοῦ χάριν ταῦτα ἐπεπόνθει. εἰ γὰρ πλήξας ἀπιὼν ᾤχετο σιωπῇ, οὐδὲν ἂν ἐκώλυσε τὸν παιδαγωγὸν ἀγνοῆσαι πλημμελήσαντα, τῇ δὲ ἀγνοίᾳ μηδὲν βελτίω γενέσθαι. καὶ μὴν τὸ τῶν ἁμαρτημάτων ἕνεκα παρὰ τοῦ παιδαγωγοῦ τὴν τιμωρίαν λαβεῖν, νοῦν ἐχόντων εὑρήσομεν. ἐνθυμηθῶμεν γὰρ ὅτου χάριν οἱ γονεῖς μισθοῦνται τοὺς ἐπιστησομένους τοῖς υἱέσιν. ἆρά γε μάτην ἐπιθυμοῦντες δαπανᾶσθαι χρήματα, ἀναλίσκειν πλοῦτον. πόθεν; οὐδεὶς οὕτως ἀπόπληκτος. ἀλλὰ πρὸς τί δὴ βλέπουσιν; ἴσασιν ἐκεῖνοι τὴν νεότητα, ἐπιρρεπῆ φύσει πρὸς τὰ ἁμαρτήματα. κατὰ δὲ τῶν χρηστῶν ἀεὶ τὴν ἐναντίαν δόξαν ἔχουσαν, καὶ φεύγουσαν μὲν ἀφ' ὧν ἔστιν εὐδαιμονίαν λαβεῖν, διώκουσαν δὲ δι' ὧν ἔστιν ἀθλιωτάτους γενέσθαι. ἓν οὖν δέον νέον μανθάνειν εἴη παρὰ τῶν πρεσβυτέρων, τίσι μὲν προσεκτέον, τίνων δ' ἀφεκτέον. τούτου χάριν τὴν πλείστην † χάριν ἐντεῦθεν εἰσφέρονται, [illegible] παιδαγωγοὺς ὡς μάλιστα βελτίους ἐξευρεῖν.

ναῦ· κανόνα τῶν τοῦ παντὸς πραγμάτων ποιούμενοι, τὴν ἐκείνου γνώμην. τεκμήριον δέ· τῶν γὰρ ἀνθρώπων ἕκαστος, ἀπὸ τοῦ παιδαγωγοῦ τρόπῳ τεκμαίρεται τὸν τοῦ νέου. κἂν μὲν χρηστὸς ἐκεῖνος, καὶ περὶ τούτου προσδοκᾷ τὰ βελτίω. μὴ τοιούτου δὲ ὄντος, χείρους ἐλπίδας καὶ περὶ τοῦ νέου λαμβάνει. οὐκ οὖν τοῦ μὲν πατρὸς ἀργύριον δοῦναι, τοῦ δὲ παιδαγωγοῦ τῶν λοιπῶν φροντίσαι, μηδὲν ὑποστελλόμενον. διὰ τοῦτο γὰρ καὶ παίειν, καὶ ἄγχειν, καὶ στρεβλοῦν, καὶ ἃ τῶν δεσποτῶν πρὸς τοὺς οἰκέτας, ταῦτα καὶ τὸ νέων τοῖς ἐφεστῶσιν ἀξιοῦσι ὑπέχειν· ὡς μηδεὶς ἀπόλογος ἐστὺς ὄρου ᾖ. τί οὖν φημί; μᾶλλον δὲ, τί Διογένης φησίν; ἂν πίνειν παρὰ τοῦ μετρίου βούληται, μηδαμῶς ὦ ταν ἐπίτρεπε, καὶ τὸν ὕπνον δὲ τὸν ἔξω τοῦ προσήκοντος διάκοπτε. καὶ πρὸς ἀργίαν ἐκφερόμενον, ἀνέγειρε, καὶ παρατήρει βλέμμα, καὶ σχῆμα, καὶ φωνὴν μὴ παρὰ μέλος συμβῇ. καὶ τὰ μὲν πρῶτα πειρῶ νουθετεῖν. εἰ δέ τι ἀντιτείνει, κόλαζε, καὶ πικρὸς ὑπὲρ σωφροσύνης τὲ φιλοτιμίας φαίνου μᾶλλον, ἢ φιλανθρωπίᾳ ζημιοῦ. πάρεισιν ἱμάς, ξαίνει κατὰ τοῦ νώτου πολλάς. φοβείσθω τὴν σὴν βακτηρίαν. εἰ γὰρ οὐκ ἐκεῖνος τὴν σὴν, σὺ τὴν ἐμήν. τούτους ἡγεῖσθαι χρὴ Διογένους τοὺς λόγους.

γους. γὰρ τῷ, τί γὰρ τοιαῦτα παιδεύεις; εἰπεῖν, ταῦτα πάντα παρείληφεν. ἔτι τοίνυν εἰ δεῖ σκεψώμεθα. πότερον οὖν παρῆν διαπαντὸς τῷ παιδὶ, ἢ οὔ; εἰ μὲν γὰρ ἀπεστάτει, προδότης ἦν τοῦ νέου σαφής· εἰ δὲ συνεζεύγνυτο, πότερον ἤρεσκετο τοῖς πλημμελήμασιν, ἢ οὔ; εἰ μὲν γὰρ βουλομένου τούτου ἦν ἁμαρτάνεσθαι, τίς τοῦ τοιούτου πονηρότερος; εἰ δὲ οὐ βουλομένου, τί παθὼν οὐκ ἐκώλυσεν; οὐ γὰρ δὴ χεῖρας ἔμελλεν ὁ νέος ἀνταίρειν. τὸ γὰρ πείθεσθαι, καὶ οὐκ ἀντιβλέπειν, ἀναγκαῖον ὂν ἠπίστατο. εἰ δὲ ἃ τὸν παιδαγωγὸν ὁ Διογένης, ταυτὶ τὸν νέον ἐτύγχανε δράσας, οὐκ ἂν ἐκεῖνον εἰπεῖν νομίζομεν; ὦ σοφώτατε Διόγενες, ἐμοὶ γὰρ ὑπείληπται καλὸν, ὃ δίδωσι πράττειν ὁ κύριος· καὶ νῦν σὺ μὲν ταῦτα ἀταξίαν, ἐγὼ δὲ παιδείαν ἡγοῦμαι. σημεῖον δὲ, τὸ μηδὲ τὸν παιδαγωγὸν ἀποτρέπειν ποιοῦμαι. εἰ ταῦτα ἤκουσεν, ἆρα οὐχ ὡμολόγησεν ἂν ἀκρασία περὶ τὰς πληγὰς κεχρῆσθαι; πάνυ γε. διόπερ οὐδὲν τοιοῦτον οὔτε ἔπραξεν, οὔτε ἤκουσεν. ἐπεὶ δὲ καὶ πανταχοῦ τὰς ἀρχὰς καὶ τὰς ὑποθέσεις τῶν πραγμάτων σκοπεῖν προσῆκον ἐστὶ, καὶ πρὸς ἐκείνας πάντα ἀναφέρειν τὰ δεύτερα. τὸ γὰρ παρέχον τὴν ἀφορμὴν, καὶ τῶν ἀκολουθούντων

κομίζεται

κομίζεται τὸν λόγον. καὶ τὸ περὶ ἀταξίας ὑπὸ τοῦ παιδὸς ἐγίνετο. κατεσκεύασο δὲ τῇ τοῦ παιδαγωγοῦ ῥαθυμίᾳ. οὐ δὴ ψιλὸν ἐζήτασε τὸ ἔργον, ἀλλὰ καὶ τὸν δόντα τῷ πράγματι τὴν μεταβολήν. καὶ τῷ μὲν πράγματι συνέγνω, τὸν δὲ δόντα τὴν ἄδειαν ἐμίσησεν. οὐ γὰρ μὴ συγχωρήσαντος οὐκ ἄν ποτε πέπρακτο, ὥσπερ ἡγεῖτο δίκην τῶν πραχθέντων ὀφείλειν. καὶ γὰρ ὡς ἀληθῶς τῶν ἀτοπωτάτων, εἰ μέν τι τῶν ἀμεινόνων ὑπὸ τῶν νέων γένοιτο, τὸν ἐφεστηκότα τὴν δόξαν καρποῦσθαι. τοῦ δὲ ὡς ἑτέρως ἐχόντων, μὴ τὸν αὐτὸν ὥσπερ ὑπεύθυνον εἶναι. ἐγὼ ἔγνων πολλάκις τὸν μὲν νέον ἀπομνημονεύοντα καλῶς, τὸν δὲ παιδαγωγὸν μέγα φρονεῖν ἀξιοῦντα, καὶ τὸν νέον μὲν ὡς ὀξύτατα συνιέντα, τὸν δὲ μάλιστα σεμνυνόμενον, καὶ τὸν μὲν σωφρονοῦντα, τὸν δὲ εἰ μή τις αὐτὸν ἐπαινοίη δεινὰ φάσκοντα πάσχειν. καὶ μὴν οἱ γονεῖς ὅταν ὁρῶσι τὰ τοῦ παιδὸς αὐτοῖς ὡς ἄριστα προχωροῦντα, καὶ λόγων εἵνεκα, καὶ τρόπων, αὐτὸν μὲν οὐδὲ μικρὸν ἐπὶ τούτοις ἂν θαυμάσειαν. εἰς δὲ τὸν ἐπόπτην, καὶ τὸν ἐπὶ ὥσπερ ἄγοντα ῥέπουσι, καὶ κρατοῦσιν ἐπαινοῦσι, χρήματα προτείνουσι· καὶ τῶν παραχρῆμα διδομένων, τὰ προσδοκώμενα μείζω. ἔστιν οὖν ἁπλοῦς καὶ δίκαιος λόγος.

γος, οὐδεὶς θαυμάζεται τὸν νέον τῶν ἀγαθῶν. οὐ τοίνυν οὐδὲ κολάσεται τῶν ἐναντίων. ἐπὶ τὸν παιδαγωγὸν ἥξει τὸ θαῦμα τῶν δεξιῶν, οὐκοῦν καὶ τῶν ἁμαρτημάτων ἡ ζημία. ἢ μέγιστα ἂν πλεονεκτοῖεν, κἀκείνων δῶρα λαμβάνοντος, καὶ τούτων δίκην μὴ διδόντος. ἀλλ' οὐκ ἄξιον. ἀλλ' εἰ τῶν τιμῶν, καὶ τῆς τιμωρίας. εἰ πλημμελοῖτό τι, κληρονομοῖεν ἂν εἰκότως. καὶ μὴ τῆς φιλοτιμίας αὐτοὶ ποιούμενοι, ἀγανακτούντων ἐπὶ ταῖς πληγαῖς. ὥσπερ τὸ δίκαιον πανταχοῦ σωζόμενον εὑρήσομεν. ᾖσεν ὁ χορὸς πλημμελῶς, τὸν διδάσκαλον ἐν αἰτίαις ἔχει τὸ θέατρον. καὶ τῶν μὲν χορευτῶν οὐδεὶς καθάπτεται· τὸν δὲ οὐ καλῶς ῥυθμήσαντα, ὥσπερ ἐλαύνουσι. δῆλον γοῦν, ὡς εἴπερ οὗτος ὑφηγεῖτο τὰ ἀμείνω, ταύτην ἂν ἦλθεν ἐκείνων ἕκαστος. βοῦς δὲ ὅταν κορύπτῃ, πότερα τὸν βουκόλον ἢ ἐκεῖνον μεμφόμεθα; πῶλος δὲ ὅταν ἀτακτῇ, πότερον ἐκεῖνον, ἢ τὸν ἡνίοχον κακίζομεν; φροντιζέτω δὲ καὶ τῆς τῶν ναύτων ἀρετῆς ὁ κυβερνήτης, ὡς αὐτὸς ὑφέξων λόγον ὧν αὐτοὶ σφαλῶσιν. ὥσπερ γὰρ ἐπὶ τῶν λοχαγῶν τὰ τῶν ἑπομένων ἐγκλήματα βαδίζει, τὰ γὰρ ἐκείνων νοήματα τῶν πρακτέων τοῖς στρατιώταις ὅρος, οὕτω καὶ τὴν αἰτίαν τῶν ἁμαρτανομένων τοῖς νέοις, ἐπὶ τὴν τοῦ παιδαγωγοῦ κεφαλὴν δικαίως ἀναθεῖεν

ἅπαν-

ἁπάντων. γνοίης δ' ἂν ὃ φημι φανερώτερον, εἰ πρὸς τὰς μεγίστας τῶν ἑλληνίδων πόλεων ἀποβλέψαιμεν· τὴν ἀθηναίων λέγω, καὶ λακεδαιμονίων. ἀθηναῖοι μὲν οὖν οὐκ ἀναιρεθέντων τῶν πεσόντων ἐν ἀργινούσαις, τοὺς μὲν στρατηγοὺς ἀπέκτειναν, τοὺς δὲ λοιποὺς οὐδ' ἐμέμψαντο, καίτοι γε πάντες ὁμοίως ἦσαν ἠμεληκότες τῆς τῶν ἀπελθόντων ταφῆς. ἀλλ' ἐπεὶ τὴν ῥαθυμίαν ᾔδεσαν, ἐκ τῶν στρατηγῶν ὁρμημένην, τούτων τὸ ἔγκλημα καὶ τὴν δίκην ἐποιήσαντο. λακεδαιμόνιοι δὲ τῇ πρὸς τὸν θεμιστοκλέα τιμῇ, δῆλον κατέστησαν, ὡς τῶν τὰς αἰτίας παρεχομένων, τὰ λοιπὰ πάντως γίνεται. μετὰ γὰρ τὰς γενναίας ἐκείνας, καὶ θαυμαστὰς πράξεις, ἃς ἐπεδείκνυτο κατὰ τῶν βαρβάρων, θεμιστοκλῆς ἧκεν εἰς σπάρτην. οἱ δὲ αὐτὸν ἐστεφάνουν, τῆς ἐν σαλαμῖνι ναυμαχίας ἀφορμὴν ποιούμενοι, τὴν ἐκείνου διάνοιαν. οὐκοῦν διογένης ὀρθῶς οἶδεν, ὅτῳ προσήκουσι πληγαί. δεῖ δὲ τοὺς εὖ φρονοῦντας ἐκεῖνον ἐπαινεῖν, καὶ τοῖς ἔργοις μιμεῖσθαι.

ἰσοκράτης τῆς παιδείας τὴν μὲν ῥίζαν πικρὰν εἶναι ἔφη, τοὺς καρποὺς δὲ γλυκεῖς.

ΧΡΕΙΑ ΑΛΛΗ.



Ὁ μέν τις ἰσοκράτην ἐπαινεῖ τῶν λόγων, οἷς τοὺς ἄνδρας τοὺς ἀγαθοὺς ἐκόσμησεν· ὁ δὲ τῶν συμβουλιῶν, ἐν αἷς πολλὴν ἐπεδείξατο τὴν σύνεσιν· ἔνιοι δὲ καὶ τῶν δικανικῶν, ἐν οἷς οὐδενὸς ἐφάνη φαυλότερος· οἱ δὲ καὶ τοῦ τῶν ὀνομάτων, οἱ δὲ καὶ ῥυθμῶν ἑαλώκασι κάλλους. ἥδομαι δὲ κἀγὼ καὶ τὸ μὴ τοῖς κοινοῖς αὐτὸν ἐθελῆσαι προσελθεῖν ἐν θαύματι πεποιημένων. λογίζονται γάρ, ὡς εἰ μὲν ἐγγὺς τὸ τῶν περὶ τοῦ βήματος, αὐτὸν ἂν μόνον παρέχειν ῥήτορα τῇ πόλει τῶν ἀθηναίων. παιδεύειν δὲ τάξας ἑαυτόν, καὶ τὴν τῶν λόγων ὑφηγεῖσθαι τέχνην, πολλοὺς ἀνθ' ἑνὸς τοῦ βίου κατέστησεν. ἐγὼ δὲ ἐπαινῶ μὲν καὶ ταῦτα. ἢ σφόδρα ἂν εἴην ἄτοπος, εἰ μὴ βουλοίμην ἐπαινεῖν. οὐδὲν ἧττον μὲν δὴ θαυμάσας ἔχω τὰς ὑποθήκας, αἷς ὅσοι ἐπείσθησαν, εὗρον περὶ τῶν πραγμάτων τὸ κέρδος. αὐτῶν δέ γε τῶν ὑποθηκῶν τὰς μὲν ἐν γράμμασι, τὰς δὲ ἀπὸ στόματος οὑτωσὶ πρὸς τοὺς συ-

 νόντας

νόντας εἰπὼν ἐν μνήμῃ κατέλιπε. τῆς δ' αὖ τῇ μνήμῃ σωζομένων πολλὰς μὲν δεῖν ἐξετάσαι, χαλεπὸν δὲ ἁπάσας. διόπερ ἑνὶ μόνῳ πρὸς παρὸν χρήσομαι, ὃ περὶ τῆς παιδείας εἴρηκε. καὶ γὰρ ἂν εἴη πρέπον παιδεύειν ἐπιχειροῦντι, τοῦτο πρὸ τῶν ἄλλων πρεσβεύειν. ἐκεῖνος γὰρ ὡς εἶδε τοὺς νέους ἀποδιδράσκοντας τῷ φόβῳ τῶν πόνων, καὶ τοὺς μὲν ἐν ἀρχῇ λογιζομένους ἱδρῶτας, τὸ δὲ ἀπ' αὐτῶν κέρδος οὐ προσγνυμνουμένους, τί ποιεῖ; παραθεὶς τοῖς πρώτοις τὴν τελευτὴν, καὶ τοῖς λυπηροῖς τὴν ἡδονὴν, μᾶλλον δι' ἐκείνην ἐρρωμενεστέρους κατέστησεν, ἢ διὰ ταῦτα ἀθυμοτέρους. ἡ γὰρ παιδεία φησὶν, ἔχει μὲν ῥίζαν, ἔχει δὲ καρπόν· καὶ τῇ μὲν τὸ πικρὸν πρόσεστιν, τοῖς δὲ τὸ ἥδιστον συνέζευκται. τίς οὐκ ἂν θαυμάζοι, πρὸ τῶν ἄλλων εὐθὺς τὴν ἀλήθειαν; ἐξετάσωμεν γὰρ ἀμφοτέρων τοὺς καιροὺς, τόν τε τῆς ἀρχῆς ὃν ὀνομάζει ῥίζαν, καὶ τὸν τῆς τελευτῆς, ὃν εἰσφέρει τὸν τῶν καρπῶν. εὑρήσομεν γὰρ, τὴν μὲν ἀποκναίουσαν ἀηδίᾳ, τὴν δὲ εὐφραίνουσαν μεθ' ὑπερβολῆς. σκόπει γάρ. ἵδρυται μὲν ὁ διδάσκαλος ἐφ' ὑψηλοῦ τινος, ὥσπερ οἱ δικασταὶ, φοβερὸς, συνάγων τὰς ὀφρῦς, θυμὸν ἐμφανίζων, οὐδὲν εἰρηναῖον προδεικνύς. δεῖ τὸν νέον προσ-

ἰέναι, τρέμοντα καὶ συνεσταλμένον, ποικίλην ποιησόμενον τὴν ἐπίδειξιν, ὧν εὗρεν, ὧν συνέθηκε μνήμης πέρι τούτοις. κἂν φαύλως αὐτῷ ᾖ τὰ πεπραγμένα, ἀγανακτήσεις, λοιδορίαι, πληγαὶ, περὶ τοῦ μέλλοντος ἀπειλαί. ἂν δὲ πάντα αὐτῷ πρὸς ἄκρον ἠσκημένα φαίνηται, καὶ μηδαμοῦ μέμψει παρέχῃ χώραν, κέρδος τὸ μὴ παθεῖν κακῶς, καὶ παραγγέλσεις τοῦ μὴ χείρω πρὸς τὰ δεύτερα γενέσθαι· μᾶλλον δὲ τοῖς πάντα, ἃ προσήκει πληροῦσι, ἀπόκειταί τι χαλεπόν. ὁμοῦ τε γὰρ ἐνδεῶς ἔδοξαν εἰρῆσθαι, καὶ μεῖζον ὑπομένουσι φορτίον. δοκοῦσι δὲ καὶ τοῖς μείζουσι τάχα ἂν ἀρκέσαι. τὰ μὲν δὴ τοῦ διδασκάλου τοιαῦτα, καὶ παραπλήσια. ὁ δὲ δὴ παιδαγωγὸς ἡρακλεῖς τῶν δεσποτῶν βαρύτερος ἐφεστηκὼς, ἀεὶ μικροῦ καὶ συνημμένος, ἐπεγείρων συνεχῶς, ἐπιπλήττων διαπαντὸς, ῥαστώνης ἀπελαύνων, πρὸς ἔργον τὸν λογισμὸν ἔχειν κελεύων, τῶν μὲν χρηστῶν οὐδὲν ἐπαινῶν, τῶν δὲ τοῖς μικροῖς ὑπερβαλόντως κολάζων, ἔνοπλος ὡσάν τις εἴποι ἑπόμενος, βακτηρίαν ἢ σκῦτος ἐν τῇ δεξιᾷ προφέρων. ἀλλ' οἱ γονεῖς φιλάνθρωποι τοῖς νέοις; οὐδὲν οὖν τῶν εἰρημένων ἡμερώτεροι,

πολλῷ δὲ χαλεπώτεροι. καὶ γίνεται δεύτερος ἀγὼν ἀπὸ τῆς οἰκίας, οὐδὲν τῶν ἐν τοῖς διδασκαλείοις φαυλότερος. αὐτίκα γὰρ τὸ σιτίον ἢ ποτὸν ὀρέξαι, τί κατείργασαι, καὶ τί προκέκοπται, καὶ τί προσειλήφαμεν εἰς λόγους; καὶ τὰ τοιαῦτα παρὰ τοῦ πατρός. προσθήσω δὲ καὶ ἃ παρὰ τῆς μητρός εἰσιν. ἢ τόν γε ἀνάγκη τὰς εὐθύνας διδόναι. εἰ δέ τις λήθης αἰτία γένοιτο, μικρὸν εἰπεῖν τὰς πληγάς, ἀλλὰ καὶ τῶν σιτίων ἀποκεκλεῖσθαι δεῖ. ἑσπέρας δὲ ἐλθούσης, ἣ τοῖς μὲν ἄλλοις λύει, τοῖς δὲ ἐπιτείνει τοὺς πόνους καὶ τὴν τέχνην. νὺξ δὲ δὴ καιρὸς ἀναπαύλης δοθείς, ἔργον τοῖς νέοις γίνεται, καὶ μέγιστον ἐγκλημάτων, εἰ μὴ πρὸ τοῦ κόρου τὸν ὕπνον ἀπεσείσαιντο. οὔτ' οὖν προϊοῦσιν, οὔτ' οἴκοι διατρίβουσιν, οὐ παρὰ τοῖς παιδευταῖς, οὐ παρὰ τοῖς γονεῦσιν, οὐ νυκτὸς οὐχ ἡμέρας ἐστὶν ἀναπαύλης σχολή, ἀλλὰ διὰ πάντων τῶν πόνων χωρεῖ. τοῖς δέ γε οὐδὲ ὀνειράτων ἔνεστιν εἰρηνικῶν ἀπολαῦσαι. ἀλλὰ κἀκεῖνα τῶν μελλόντων ἀλγεινῶν ἔχει τὴν μαντείαν πολλάκις. μήπω δοκεῖ κακῶς ἐσκέφθαι τῆς παιδείας τὴν ῥίζαν Ἰσοκράτης; ὁρᾷς τὸ χαλεπόν, τὸ πικρόν, τὸ γέμον φροντίδος. οὐ μὴν ἐνταῦθα φησὶν ἕστηκε τὸ πρᾶγμα. οὐδὲ τῆς παιδείας ὁ ὅρος τὸ χαλεπόν. ἀλλ'

ἀπό-

ἀπόβλεψον εἰς τοὺς καρποὺς, καὶ παραθεὶς ἐκείνους τῇ ῥίζῃ, τάχα τοῖς λυπηροῖς εὑρήσεις τὴν ἡδονὴν ἀντίπαλον. τί δὲ μὴ λαμπρὸν, τί δὲ ὅλως τῶν οὐ βελτιόνων ἐστὶν, ὧν μὴ τῶν πρὶν κεκοινώνηκεν; ἐπειδὴ γὰρ ὁ νέος ἱκανῶς ἔχει τοῦ παιδεύεσθαι, καλεῖται μὲν εἰς βουλὴν, καλεῖται δὲ εἰς ἐκκλησίαν, δῆμος δὲ ὅλος εἰς τὴν ἐκείνου γνώμην ὁρᾷ. καὶ καθάπερ χρησμοῖς πείθονται ταῖς εἰσηγήσεσι. τοσούτῳ μεῖζον μὲν εἰς ἡδονὴν τὸ πρυτανεῖον, ἢ τὸ διδασκαλεῖον εἰς λύπην, μείζων δὲ τῶν πληγῶν ὁ στέφανος. παρίησι δὲ τὴν τῶν παιδαγωγῶν ἀηδίαν ἡ τοῦ κήρυκος φωνή. ὅταν παραστᾶσα λαμπρῷ τῷ κηρύγματι, τὴν εὔνοιαν μαρτυρῇ. δέχου δὴ καὶ τὰ λοιπὰ τῶν καρπῶν. πρεσβείας καταλαμβάνει καιρὸς, εὐθὺς ἡ ψῆφος ἐπὶ τὸν πεπαιδευμένον, καὶ γίνεται τῇ πατρίδι δι' ἐκείνου τὸ κέρδος. ἐκεῖνος δὲ παρ' ἀμφοτέροις ἐπιφανὴς, τοῖς τε ἀποσταλκόσι, καὶ παρ' οὓς ἦλθε πρεσβεύων. συμβαίνει διαφορὰ πρὸς τοὺς ἀστυγείτονας, καὶ δεῖ ταύτην κωλυθῆναι, ἐνταῦθα οὐκ ἰσχυρὸς, οὐ πλούσιος, οὐ κάλλει διαφέρων, ἀλλ' ὁ παιδεύσει διαφέρων πρὸ τῶν ἄλλων κεχειροτόνηται. ὅλως δὲ τὰ μὲν μέγιστα ταῖς πόλεσι, παρὰ τῶν ῥητόρων, οἱ δὲ ῥήτορες ἀπὸ τῶν πεπαιδευμένων,

ἐκεῖνοι νόμους, ἐκεῖνοι ψηφίσματα γράφουσιν, οἷς πέφυκεν ἡ πολιτεία συνέχεσθαι· καί τοι τῷ δοκεῖν τὰ μέγιστα παραχεῖν, μείζω τοῖς λαμβάνουσι καὶ τοῖς παρέχουσι παρέχει τὴν ἡδονήν. αἱ γὰρ εὐεργεσίαι τοῖς μὲν ὠφελουμένοις ἐπανορθοῦσι τὰς χρείας, τοῖς δὲ ὠφελοῦσιν ἀρετῆς δόξαν κομίζουσι. καὶ μὴν κἀκεῖνο δῆλον, ὡς ἀμύνεσθαι τοὺς λελυπηκότας, μὴ παθεῖν τι κακὸς ὑπὸ τῶν ἐχθρῶν, πάντων μέγιστον. ταῦτα δὲ πάντα μετὰ τῶν πεπαιδευμένων ἐστί. τοὺς μὲν ἠδικηκότας αὐτοὺς, γράφονται, κρίνουσιν, εἰς δικαστήριον ἄγουσι, παραδιδόασι τοῖς νόμοις. εἰ δέ τις ἐπ' αὐτοὺς ἔλθοι συκοφάντης, δεινὸν οὐδέν· ἀρκεῖ γὰρ πρὸς σωτηρίαν ἡ δεινότης. κινδυνεῦσαι δεῖ, τίς οὐκ ἂν εὐχὴν ποιήσαιτο περὶ πεπαιδευμένῳ; γενέσθαι δὲ φίλος, ὥσπερ τῆς δεῖ κληθῆναι. ἐκεῖνοι γὰρ οὐχ ἑαυτοῖς μόνοις ἀρκεῖεν ἂν, ἀλλὰ καὶ τοῖς συνήθεσιν αὐτὶ λιμένων καθίστανται, παρόντες ἐν ταῖς χρείαις, ἐν ταῖς ἀκαιρίαις συμμαχοῦντες, παραμυθούμενοι, βοηθοῦντες. ὅπως δὲ λαμπρῶς ἐπὶ τὸ βῆμα παραπέμπονται, ὅπως δὲ ἀπὸ τοῦ βήματος λαμπρότερον, ἡνίκα ἂν εὐδοκιμήσωσι. καὶ μὴν εἰ χρημάτων ἔρως αὐτοὺς εἰσέλθοι, πλησίον ὁ πλοῦτος, καὶ οὗτος γε

δίκαιος καὶ ἀπὸ τῆς τέχνης. ἔτι τοίνυν ἐν τοῖς κοινοῖς συλλόγοις, ἀπόντας μὲν ποθοῦσι, παρόντων δὲ θαῤῥοῦσιν. εἰρήνη δὲ καὶ πόλεμος δι' ἐκείνων πρυτανεύεται, εὐδοξίαν δὲ τοῖς γονεῦσι παρέχουσιν, εὔκλειαν δὲ τοῖς παισὶν ἀπολείπουσι. τὸ δὲ τοῦ γήρως αἰδέσιμον, ἐπ' ἐκείνων διπλασιάζεται τῇ παιδείᾳ. τετελευτηκότων δὲ, εἰκόνες ἐπ' ἀγορᾶς σώζουσι μήκει χρόνου τὴν μνήμην. ὁρᾷς τοὺς καρποὺς, ὡς ἀπεναντίας τῇ ῥίζῃ πεφύκασιν; ὁρᾷς ὡς τοῦ πονῆσαι πλέον ὑπὲρ τῆς παιδείας τὸ τερφθῆναι; ὁρᾷς ὅτι τὸ σκυθρωπὸν ἐκεῖνο καταλαμβάνει τὰ πάντων φαιδρότατα; καί μοι δοκεῖ τοῦτο εἰκότως οὕτως ἔχειν. ἐξετάσωμεν γὰρ, πότερον μικρόν τι καὶ φαῦλον ἡ παιδεία, καὶ τοιοῦτον ὃ κἂν διαπτύσαιτό τις ῥᾴδιον, ἢ τοὐναντίον μέγα καὶ θαυμαστὸν, καὶ τοῖς κεκτημένοις συμφορώτατον, καὶ τοῖς οὐ κεκτημένοις ζηλωτόν. καὶ μὴν ἅ γε ἄρτι κατελέξαμεν ὑπὲρ αὐτῆς, δείκνυσιν ὡς οὐκ ἐσχάτῃ μοίρᾳ τεθεῖκ δικαίως. ταῦτα γὰρ ἐφαίνετο λαμβάνουσα, κρότον, ἔπαινον, εὐπορίαν, στεφάνους, τιμὰς, ζῶσι καὶ τετελευτηκόσιν. ἔχει τοίνυν τὴν αἰτίαν ἔγγυθεν, δι' ἣν ἀνάγκη πονήσαντα, κτήσασθαι, καὶ γὰρ οὕτως ἔχει. τῶν πραγμά-

των τὰ μὲν ὀλίγου ἄξια, τὰ δὲ πολλοῦ. τῶν μὲν
οὖν προτέρων, διὰ ῥᾳστώνης ἡ κτίσις· ὧν δὲ τὸ
δεύτερον, παραπέμπουσιν οἱ πόνοι, καὶ οὔτε
τοῖς μικροῖς ἱδρῶτας συνέζευξεν ἡ φύσις, οὔτε
τοῖς μεγίστοις τὴν ῥᾳθυμίαν, ἀλλ' ἐφ' ἑκατέρω
προοίμιον ἁρμόττον τῷ τέλει, ἐκεῖ μὲν τρυφὴ,
ταλαιπωρία δὲ ἐνταῦθα. δεῖ δὲ λύειν θάτερον,
ἢ τὸ περὶ παιδείας εἰπεῖν μικρὸν εἶναι, ἢ μὴ τοῦτο
ὁμολογοῦντα, δέχεσθαι τοὺς πόνους. εἰ μὲν ὑπὲρ
ἀπαιδευσίας ἢ τινὸς τῶν φαυλοτέρων Ἰσοκρά-
της διαλεγόμενος, τῶν τοιούτων ταῖς ἀρχαῖς
ἔφησε προσεῖναι πόνους, πάνυ ἂν ἐμεμψάμην.
μεσταὶ γὰρ ἡδονῆς ἐκεῖναι αἱ ῥίζαι. ἐὰν δὲ ὑπὲρ
πράγματος, οὗ τὴν δόσιν εἰς θεοὺς ἀναφέρειν
ἄξιον, λόγον ἀποφαινόμενος, τὰς μὲν ἀρχὰς ἔφη-
σεν ἀηδεστέρας εἶναι, τὴν δὲ τελευτὴν εὐφρο-
σύνης, καὶ τὸ τοῦ πράγματος μέγεθος συνα-
γωνίζεται τῷ λόγῳ. τοιοῦτον καὶ τὸ τῶν ἐμπό-
ρων. οὐ γὰρ ἐπ' ἀμφόδοις καθεύδουσιν, οὔτε οἴ-
κοι καθημένοις ὁ πλοῦτος παραγίνεται· ἀλλὰ δεῖ
μὲν προσεδρεῦσαι λιμένι, καὶ τῷ ναυκλήρῳ δια-
λεχθῆναι. δεῖ δὲ ἐνθέμενον τά τε ὄντα καὶ τὸ σῶ-
μα ἐς τὴν ναῦν, γῆν μὲν ἀποκρύψαι, πελά-
γιον δὲ ἀναδειχθῆναι, πολλὰς ἡμέρας ἐφεξῆς
νυκτὶ συνάπτοντα. καὶ οὔπω τὸ μεῖζον εἴρηται.

πολ

πολλάκις γὰρ τὰ μὲν ἄρτι κατὰ πρύμναν ἑστηκότα λήγει πνεύματα, καταίρει δὲ τὰ ἐναντιώτατα, καὶ πάλιν ὅθεν ἀνήχθησαν, ἐκεῖσε καταφέρονται, καὶ κέρδος οὐδὲν τοῦ διανυσμένου. σκηπτοὺς δὲ τοὺς ἐμπίπτοντας ἐγγὺς τῆς ὁλκάδος, καὶ βροντὰς ῥηγνυμένας, καὶ τὸ κλυδώνιον ἐπανιστάμενον, καὶ τρικυμιῶν φόβον, τίς ἂν πρὸς ἀξίαν διέλθοι; ταῦτα ἐκεῖνοι μετὰ πάσης ἀνδρίας ὑπενεγκόντων, ὠνοῦνται ἐκ τῶν κινδύνων εὐπορίας. καὶ δεῖ δυοῖν θάτερον, ἢ πολλῶν ἀνέχεσθαι δυσχερῶν, ἢ μὴ μείζω ποιῆσαι τὴν οὐσίαν. καὶ μὴν εἴ τις ἀντιθεῖναι μέλλοι τῇ παιδείᾳ τὸν μέγιστον πλοῦτον, γέλως ἂν φανείη περὶ ταύτην κρινόμενος. τί δὲ θαυμαστὸν εἰ προσδεῖται πόνων ἐκείνη, μὴ δὲ τῶν ἐλαττόνων ἄνευ ταλαιπωρίας ἐθελόντων περιγίνεσθαι; τοὺς δὲ τῆς Δήμητρος οἱ γεωργοί, πῶς τοι δοκοῦσι θερίζειν. ἆρα ἄσπαρτα καὶ ἀνήροτα, κατὰ τοὺς κύκλωπας; μῦθος ἐκεῖνα, καὶ λόγος. ἀλλὰ πᾶσα ἀνάγκη θεραπεῦσαι βοῦν, καὶ ἄροτρον πήξασθαι, καὶ ἀναῤῥῆξαι τὴν γῆν εἰς αὔλακας, καὶ σπόρου καιρὸν διαγνῶναι, καὶ μὴ τοῖς ὀρνέοις ἐπιτρέψαι τὸ καταβληθὲν ἀνελέσθαι, καὶ τὰ τοῖς στάχυσι παραφυόμενα πρὸς λύμην ἐκκόψαι, ἐπειδὰν δὲ πᾶν εἶδος ἐπι-

μελέτας εἰσενέγκηται, περὶ τὸ λήϊον τὸ θέρος ἀναμείνας, οὕτω προοίσει τὸ δρέπανον. καὶ οὐ δεῖ τοῦτο σκοπεῖν μόνον, ὅτι τὰς ἅλως ἐπλήρωσεν, ἀλλ' ὅσους ὑποστάντι πόνους τοῦτο ὑπῆρξεν ἰδεῖν. ταῦτα δὲ καὶ περὶ τῶν ποιμένων εἴποι τις, καὶ τῶν ἄλλων τεχνῶν, ὧν οὐ κατὰ παιδείαν τὸ κέρδος. καὶ τί δεῖ περὶ ταῦτα διατρίβειν, ἔχοντα παραδείγματα χρήσιμα, ἃ λαμπρότερον μαρτυρεῖ τῷ λόγῳ; τί γὰρ ἂν μεῖζον ἢ σεμνότερον Δημοσθένους; οὐ τοῦ στρατηγήσαντος ἐν Σικελίᾳ, ἀλλὰ τοῦ ῥήτορος λέγω. ἢ τί μᾶλλον ἐν καιρῷ τοῖς Ἀθηναίοις πάλαι, καὶ μετὰ ταῦτα πᾶσιν ἀνθρώποις κατέστη; τίς οὐκ ἂν εὔξαιτο τὸν ἑαυτοῦ παῖδα, μὴ ὅτι τοιοῦτον ἀποφανθῆναι παντελῶς, ἀλλ' ὁπωσοῦν προσάψασθαι τοῦ ζήλου. ἐκεῖνος τοίνυν οὐχ ἑστιάσει καὶ πότῳ προσέχων τὸν νοῦν, οὐδὲ συβαριτικὴν παρατιθέμενος τράπεζαν, οὐδὲ τὴν ἡδονὴν εὐδαιμονίαν κρίνων, οὐδὲ τῇ γαστρὶ χαριζόμενος, οὐδὲ πρὸς ἀνάπαυλαν τὸ πλεῖστον ποιούμενος, εἰς τοσοῦτον προὔβη τῆς νῦν περὶ αὐτοῦ κατὰ πᾶσαν γῆν καὶ θάλατταν κατεχούσης δόξης· ἀλλὰ πόθεν δή, καὶ τίνι τρόπῳ τοιαύτας συνέλεξε δεινότητας; συνελόντι μὲν εἰπεῖν, ἐκ τοῦ τῶν πόνων συνεχοῦς; τὰ δὲ καθέκαστα

ἐκ τοῦ φεύγειν τὰ ῥᾶστα, ἐκ τοῦ προστετυχηκέναι βιβλίοις, ἐκ τοῦ τὸ ὕδωρ οἴνου χρησιμώτερον νομίσαι τῷγε ἐν λόγοις βιοῦντι, ἐκ τοῦ τὸν καιρὸν τοῦ ὕπνου καιρὸν ἔργων ποιήσασθαι. ὅς γε οὕτω σύμπαντα ἑαυτὸν ἀνέθηκε τοῖς μαθήμασιν, ὥστε ὑπὸ γῆν ὀρύξας οἴκημα, καινήν τινα καὶ ἄτοπον ἐμηχανήσατο οἴκησιν, ὡς ἂν μηδεὶς θόρυβος αἴσθησιν παρέχων, ἐκκρούῃ τῶν προκειμένων τὸν λογισμόν. οὔπω τὸ μέγιστον εἴρηται. ἐκείνοις γὰρ τὰς προόδους μέγιστον ἐμπόδισμα ἡγούμενος, καὶ βουλόμενος αὑτὸν τετάχθαι τοῖς πόνοις, ξυρεῖν ἀνέθη δεῖν τὸ τῆς κεφαλῆς μέρος, τὴν οἴκοι μονὴν ἐντεῦθεν ἑαυτῷ κατασκευαζόμενος. οὑτωσὶ μὲν δὴ ὁ Δημοσθένης πικρῶς ἀπήλαυσε τῆς ῥίζης· ἀλλ᾽ ἀπήλαυσε μέντοι καὶ τῆς τῶν καρπῶν ἡδονῆς. ἀντὶ μὲν γὰρ τῶν λυπηρῶν ἐκείνων, σώζειν οὐ μόνον τοὺς ἀθηναίους, ἀλλὰ καὶ τοὺς ἕλληνας ἐπεπίστευτο· καὶ πάντα χαίρειν ἐάσαντες, εἰς ἐκεῖνον ἔβλεπον μόνον, δημαγωγὸν δυνατόν, σύμβουλον ἀγαθόν, ῥήτορα δεξιόν, συνετόν, ὀξύν, πάντα τὰ ἄριστα καλοῦντες, καὶ πάντα ἐκεῖνον ἡγοῦντο· νόμους τιθέντα, ψηφίσματα γράφοντα, πρεσβείας ὑπισχνούμενον, λέγοντα, πράττοντα. καίτοι τὴν κεφαλὴν ἐκείνην, ἣν

ἐδόκει διαβῆναι κακῶς, ὕστερον ἐστεφανωμένην ἐδείκνυεν. ἀντὶ δὲ τῆς καθείρξεως ἐκείνης, καὶ στυγνῆς διατριβῆς, εἰς πᾶσαν τὴν οἰκουμένην τὸ κλέος ἐξήνεγκε. καὶ τετελευτηκὼς οὐκ ἔληξεν ὥσαν εἴπη τις τὸν βίον, ἀλλὰ τελεῖ τὰς ψυχὰς καὶ νέων καὶ πρεσβυτέρων, οἷς ἔρως τῆς ῥητορικῆς, καὶ οὔτε ῥίζης ἀηδεστέρας, οὔτε καρπῶν βελτιόνων οὐδεὶς ἐγεύσατο. τί δὲ ὁ λυκοῦργος ἐκεῖνος, ὁ κατ᾽ αὐτὸν ἐκεῖνον γεγονὼς τὸν δημοσθένην; ἆρ᾽ ἢ φαῦλος τὶς ἔδοξεν εἶναι ῥήτωρ τοῖς ἀθηναίοις, ἢ τὸ μέγα τι εἶναι καὶ νομίζεσθαι χωρὶς τῶν πόνων ἐκτήσατο; καὶ τίς οὕτως ὀψιμαθὴς, ὅστις οὐκ ἤκουέ τι καινὸν, καὶ τὸν τρόπον, ᾧ τὸν ὕπνον διεκόπτεν. ὅτι τοίνυν σωφρόνως ὁ λόγος ἔχει, μετὰ πολλῶν τῶν εἰρημένων Ἡσίοδος μαρτυρεῖ. πάντως οὐδεὶς οὕτω θρασὺς, οὐδὲ πάντα τολμῶν, ὅστις ἂν ὑποσκήψειε τῷ μάρτυρι. οἶμαι γὰρ δὴ καὶ τοὺς παῖδας τοῦτο ἐγνωκέναι, ὡς μάλιστα δὴ τῶν ὑμνουμένων ποιητῶν Ἡσίοδος ὁ μουσόληπτος γένοιτο. καὶ παρ᾽ ἐκείνων προσταχθείη γένος τε θεῶν, καὶ ἄλλα πολλὰ καὶ χρηστὰ τοῖς ἀνθρώποις ᾄδειν. ἐκεῖνος τοίνυν ἐν τοῖς ἔπεσιν ὑπὲρ ἀρετῆς διαλεγόμενος, ἐφ᾽ ὑψηλοῦ μὲν αὐτὴν καθῆσθαι φησί. δοὺς δὲ τὸ τὴν ἐπ᾽ αὐτὴν ὁδὸν

ἀνάντη τε εἶναι, καὶ χαλεπήν, ἣν ἀνύσαι χρὴ
μετὰ πολλῶν ἱδρώτων, * ὑπὲρ γε τῆς ἀρετῆς ἐ-
πιθυμοῦντι λαβέσθαι. εἷς ἀμφοτέρων ὁ λογισ-
μός, ὁ πρὸς τὸ αὐτὸ φέρων τὰς γνώμας. ἐν δὲ
τοῖς ὀνόμασι διαλλάττων, ὅπερ Ἰσοκράτης
παίδευσιν, τοῦτο ἐκεῖνος ἀρετὴν ἔφη. ὁ δὲ οὗ-
τος ῥίζαν, τοῦτο ἐκεῖνος οἶμον. καὶ πάλιν ὅ-
περ Ἰσοκράτης πικράν, τοῦτο ἐκεῖνος τρα-
χεῖαν. ὁ δὲ παρὰ μὲν τῶν θεῶν εἰπὼν ὠνεῖσθαι
τοῖς ἀνθρώποις τὰ ἀγαθά, ὠνεῖσθαι δὲ οὐκ ἀρ-
γυρίου καὶ χρυσίου καὶ τῶν τοιούτων, ἀλλὰ
πόνων, ἆρα οὐ δοκεῖ καλῶς μὲν Ἰσοκράτει,
καλῶς δὲ Ἡσιόδῳ συνᾴδειν; εἶθ' ἡμεῖς οὕ-
τως ἕξομεν ἀγνωμόνως, ὥστε τοσούτων ἡμᾶς
ἀγαθῶν ἀποστερήσομεν ὑπὲρ τὰ πρότερα δεῖ-
σαι; καὶ οὐ τῶν μὲν ἐπιθυμήσομεν, τὰ δὲ ἀν-
δρίως ὑποστησόμεθα; καὶ πῶς οὐ δόξομεν
πολλῶν καὶ σοφῶν ἀνδρῶν κατεγνωκέναι λῆ-
ρον; πῶς δὲ οὐ δυοῖν θάτερον δοκεῖν,
ἢ ψέγειν ἃ θαυμάζειν ἄξιον,
ἢ μὴ πείθεσθαι τούτοις
ἃ δὴ θαυμά-
ζομεν.

ΓΝΩΜΗ

ΓΝΩΜΗ, ΟΥ ΧΡΗ ΠΑΝΝΥΧΙΟΝ εὕδειν βουληφόρον ἄνδρα.



ΜΕΝ πολεμικὸς Ὁμήρου θαυμαζέτω τῶν τακτικῶν, ὁ δ' αὖ τεχνικὸς τῶν περὶ τεχνικῆς ἐμπείρως εἰρημένων. οὐ μὴν οὐδὲ τοὺς ἰατροὺς ἀπορεῖν, ὅθεν αὐτοῦ ἀγασθήσονται. ἴδιοι δ' αὖ καὶ ἡνίοχος καὶ ναυτικὸς ἀμφότεροι τὰς ἑαυτῶν τέχνας παρ' αὐτῷ. μακρὸν δ' αὖ εἴη λέγειν μαντικὴν, χαλκευτικὴν, τοὺς ὑπὲρ δικαιοσύνης, τοὺς ὑπὲρ τῶν θείων λόγους. ἀλλ' ὃ ὅλως δοκεῖ κοινῇ πάντας ὠφελεῖν, τοῦτο ἔγωγε φημὶ τὰς γνώμας, ὧν αἱ μὲν εἴργουσι τῶν πονηρῶν, αἱ δὲ ἐπαίρουσι πρὸς τὰ χρηστά. πάσας μὲν οὖν εὕροι τις νοῦν ἐχούσας καὶ προσήκοντα λογισμὸν καὶ τοῖς ἐθέλουσι πείθεσθαι φερούσας τὸ κέρδος. δοκεῖ δέ μοι τὰς ἄλλας νικᾶν, καὶ πολλῷ γε τῷ μέτρῳ, ἣν πρὸς τοὺς προβούλους ἀπεφήνατο, περὶ τοῦ μὴ δεῖν τὸν ὅλον καιρὸν τῆς νυκτὸς ὕπνον ποιεῖσθαι. πάντως δὲ καὶ αὐτόν τις Ὅμηρον ἤρετο, τοῦτο ἀπεκείνατο, τὸ πολὺ τὰς ἄλλας ἡττᾶσθαι. τί τούτου τεκμήριον; οὐ Νέστωρ αὐτὴν, οὐδὲ ὁ Ὀδυσσεὺς, οὐδὲ ὁ δεῖνα τῶν Ἀχαιῶν, ἀλλ' ὁ τῶν θεῶν κορυφαῖος πεποίηται λέγων· καὶ μὴν οὐκ ἂν αὐτὴν εἰ μὴ πασῶν ἄριστα ὥρα ἔχουσαν, τῷ πάντων ἀρίστῳ περιεῖπται

ἰατροὺς οἶμαι ἀπορεῖν

ἐξῆπται θεῶν. ἄξιον δὲ τοὺς λογισμοὺς αὐτοὺς προάγοντας, ἐξετάσαι τὸν λόγον. οὐ χρή φησιν ἄνδρα παννύχιον ἀναπαύεσθαι, ᾧ βουλῆς ἀνάγκη. ὅρα τοίνυν, ὅπως τὸ συμφέρον ἀμφοτέρωθεν προείδετο, τοῦ τε ἀνδρὸς καὶ τῶν πραγμάτων. οὐ γὰρ ὅλως μὴ καθεύδειν φησὶ δεῖν, ἀλλὰ μὴ καθεύδειν ἀεί. ὥστε τὸ τοῦ μὲν ὕπνου μέρος σώζει τὸν ἄρχοντα, τὸ δὲ ἀγρυπνίας αὐτὴν τὴν ἀρχήν. διὰ ταῦτα μερίζει τὴν νύκτα πρὸς ἀνάπαυσιν καὶ βουλήν. ὥσπερ μὲν τοίνυν οὕτως αὐτῷ μετρίως ἔχει. καὶ οὐδὲν ἀδύνατον, οὐδὲ ἀμήχανον προσέταξεν αὐτῷ. ὁ δὲ νῦν πεποίηκεν, ἀκριβοῦς συμβουλῆς ἦν εἰ μὴ φυλάξειεν ὁ βουληφόρος κατ' αὐτὸν εἰπεῖν τὸν ὅμηρον, οἰχήσεται ταχέως αὐτός τε ἐκεῖνος, καὶ ὧν ἐτάχθη προνοεῖν. ἄλλως τε καὶ εἰ τύχοι πολεμῶν, καὶ πολλοῖς ἐφεστηκώς. ἅπερ ἀμφότερα ἦν ἐκείνοις τοῖς καιροῖς, ἐν οἷς ὁ λόγος ἐλέχθη. σκοπῶμεν δέ, ὅπως ἐστὶν πολιτικὸν τοῖς ἄρχουσιν. ἔστι ναυτικὸν πολλάκις, εἰσὶ τοξόται, σφενδονῆται, ψιλοί, πᾶν ἁπλῶς εἰπεῖν εἶδος εἰς πόλεμον φέρον ἁπάντων αὐτῷ φροντιστέον. ἅπερ εἰ μὲν ἔχει καλῶς, φυλαχθήσεται· εἰ δὲ μή, πρὸς τὸ βέλτιστον ἐπανορθώματος τυχόντα μεταστήσεται. ἐπαινέσεται μὲν τὸν μελετῶντα τὴν τέχνην, κακιεῖ δὲ τὸν οὐ θέ-

λοντα

χοντα παρέχειν ἑαυτὸν ἀγαθὸν στρατιώτην. καὶ
τοῖς μὲν δώσει τιμὰς, τοῖς δὲ ζημίας· καὶ τὸν μὲν
σωφρονίσει, τὸν δὲ καταστήσει βελτίω, ἐκείνῳ
μελήσει ναυτῶν, κυβερνητῶν, ὅπλων, πόρων,
ἀφορμῶν, καιροῦ πολέμου στρατοπέδων ῥοπὴν
φέροντος. δεῖ μὲν αὐτὸν τὰ τῶν πολεμίων ἀ-
νιχνεύειν, δεῖ δὲ πράττειν ὅπως μὴ τὰ αὐτῶν
οἱ πολέμιοι γνώσονται. εἰ πεζομαχίας ἡ χρεία,
τοῦτο ἐξετάσει· εἰ ναυμαχίας, τοῦτο ζητήσει· εἰ μη-
χανήματα προσιστέον, εἰ προδοσία τοὺς ἐχθροὺς
ληπτέον, δεῖ μὲν αὐτὸν ἐμβαλεῖν τοῖς δυσμε-
νέσι στάσιν· δεῖ δὲ τὰς παρὰ τοῖς οἰκείοις ἐκκό-
πτειν, ἰάσεται ναῦς κεκμηκυίας, ἐκπέμψει τὰς
ἄριστα πλεούσας ἐπ' ἔργον. ἑτέρας ναυπηγήσε-
ται. θύσει θεοῖς, χρήσεται μάντεσι. οὐδεὶς ἂν
ἀφίκοιτο τοῦ πλήθους τῶν πραγμάτων, ἃ τοῖς
βασιλεῦσι πρόκειται. τούτων ἕκαστον καὶ βου-
λευθῆναι δεῖ, καὶ πραχθῆναι. τό, τε γὰρ ἄνευ
βουλῆς ἐπιχειρῆσαι τοῖς ἔργοις, πολλάκις ἔβλα-
ψεν ἃ φεύγειν ἄξιον. ταῦτα ἡμῶν διωκόντων,
τό, τε βουλεύεσθαι μόνον, πράττειν δὲ μηδὲν,
οὐδ' ὁποιοῦν ὤνησεν. ἅπασα γὰρ σκέψις πρά-
ξεως ἄμοιρος, οὐκ ἔχει τὸ κέρδος. δεῖ τοίνυν
ὅπερ ἔφην ἀμφοτέρων. οὐκοῦν τὴν ἡμέραν μὲν
τῶν ἔργων, τὴν δὲ νύκτα βουλῆς εἶναι δεῖ καιρόν.

εἰ δὲ

εἰ δὲ τὴν μὲν ὕπνῳ δώσομεν, εἰς δὲ τὴν ἄξομεν τὰ ἀμφοτέρων, ἐλάττων ὁ καιρὸς τῆς χρείας, καὶ δυοῖν θάτερον, ἢ πρὶν μαθεῖν ὅτι βέλτιστον, ἅπτεσθαι τῶν πραγμάτων, ἢ μαθόντας ὅτι βέλτιστον οὐκ ἔχειν χρῆσθαι τοῖς πράγμασιν. εἰς ταύτην ἄγει τὴν ἀνάγκην τοὺς βασιλέας τὸ τῶν ἀρχομένων πλῆθος, καὶ τῶν πραγμάτων. ἀνδὶ δὲ τούτων καὶ καθεύδειν ἔξεστι. τεκμήριον δέ. οὐδὲ ἐζημίωσε τὸν ἰδιώτην ὁ ὕπνος. μικρῶν γὰρ οἶμαι κύριος οἰκιδίου φαύλου καὶ τριῶν ἢ τεττάρων † καὶ δραχμῶν οὐ πολλῶν, καὶ τὸ τῆς ἡμέρας ἀπέχρησε μέτρον εἰς βουλήν τε καὶ ἔργον. τί λέγω τῆς ἡμέρας ἁπάσης; εἰς μικρὸν ἡμέρας μέτρον ταῦτα ἀμφότερα δέχεται. καὶ εἰκὸς αὐτοῦ κελεύει τὸ μὴ καθεύδειν, παρὰ τὸ μὴ πολλοῖς ἐφεστηκέναι πράγμασιν, οἷς γε συμβαίνει πολλῶν πραγμάτων κυρίοις εἶναι τούτοις, ἡ μεγίστη βλάβη τὸν ὕπνον εἰ μὴ φύγοιεν. ὁρᾷς ἀγαθὲ τὸν κυβερνήτην, ὃν οὐκ ἄν μοι δοκεῖ τις ἁμαρτεῖν εἰπὼν βασιλέα τῆς νηός. οὐ τῆς νυκτὸς ἐπελθούσης ἄνω τῶν οἰάκων κάθηται, τὰ ὄμματα στήσας ἀκριβῶς πρὸς τὰ ἄστρα, καὶ οὐ φιλονικεῖ τοῖς ναύταις περὶ τῆς ἀναπαύλης; καὶ οἱ μὲν κεῖνται, ἀποδιδόντες μετὰ πολλῆς τῆς ῥαστώνης, οἱ μὲν ἄνω τῶν καταστρωμάτων, οἱ δὲ οἰκιτῶν, καὶ

ἐν κοίλῃ τῇ νηΐ· ὁ δὲ οὐ ζηλοτυπεῖ τῶν ῥασώνης ἐκείνοις, ἀλλ' ἐν τῷ μὴ καθεύδειν αὐτὸς, ἐκείνοις ἀποδίδωσι τὸ τρυφᾶν. οὐκ ἔπεισεν ἡ νὺξ ἐπελθοῦσα τὸν Νέστορα ἀναπαύεσθαι, ἀλλ' ἐν αὐτῇ τὰ μέγιστα κατορθοῦν ἠξίου, καὶ συνῆγεν οὓς ἐχρῆν, καὶ δώρων ὑπέσχετο πρὸς κατασκοπὴν τοὺς
ἀνοίτω ἐπιτηδείους ἔγειρε. καὶ μηδεὶς † ἀγνοείτω τὸ τέλος, ἀλλ' εἰ μὴ τὸ βούλευμα λόγον ἔχει τινά. τοῦ μὲν γὰρ ἡ τύχη κυρία, τὸ δὲ παρ' ἡμῶν αὐτῶν ἀπαιτοῦμεν. ὁ δὲ ἀγαμέμνων ἐκεῖνος, εἰ δουλεύειν ᾤετο δεῖν ὕπνῳ, τίς μὲν ἔγειρε τοὺς ἀρίστους εἰς σύλλογον; πότε δ' αὖ ὁ διομήδης ὀδυσσέα λαβὼν, τὰ τῶν πολεμίων ἐσκέψατο πράγματα, οὕτως ὁ καιρὸς τοῖς ἀχαιοῖς παρέδωκε τὴν πριάμου πόλιν· τῶν μὲν τρώων ὑπὸ μέθῃ κειμένων, τῶν δὲ οὐχ ἡττηθέντων ὕπνου. καὶ τί δεῖ παλαιὰ λέγειν; ἀλλὰ τὸν ἁπανταχῇ περιφερόμενον, τίς οὐκ οἶδε λόγον, ὅς φησι δεῖν ἐν νυκτὶ βουλὰς ἔχεσθαι; ὁ δὲ σοφὸς σοφοκλῆς, τί μαθὼν εὐφρόνην ἀπεκάλει τὴν νύκτα; οὐχ ὅτι τὸ φρονεῖν, ὡς μάλιστα τότε τοῖς ἀνθρώποις παραγίνεται; εἰς αὐτὸν ὁρῶν ὁ βασιλεὺς, ἀποσειέσθω τὸν ὕπνον, εἰδὼς ὡς οὐκ ἔστιν ὁμοῦ ῥαθυμεῖν καὶ πολλοῖς ἐπιτάττειν.

ΟΥ ΧΡΗ ΠΑΝΝΥΧΙΟΝ εὕδειν βουληφόρον ἄνδρα.



ΜΗΡΟΣ ὁ ποιητὴς περὶ μὲν τὰς ἡρώων διηγεῖσθαι συμφορὰς, ὑπὲρ δικαιοσύνην μοι δοκεῖ τοὺς ἀνθρώπους παρακαλεῖν, δεικνὺς ἃ τοὺς ἀδικοῦντας ἀναμένει κακά. τῷ δὲ λέγειν τοὺς ὀδυσσέως ἄθλους, καρτερικοὺς φαίνεται τοὺς ἀνθρώπους ἀπεργάζεσθαι. τίς γὰρ οὐκ ἂν ταῦτα φέρειν παιδευθείη, ἐκεῖνον ὁρῶν ἐν τοῖς ἔπεσιν ὑπὸ τῶν οἰκετῶν τῶν αὐτοῦ προπηλακιζόμενον, ἔχοντα δὲ παρ' αὐτῶν τὼ χεῖρε, καὶ τοὺς καιροὺς ἀναμένοντα. ποιῶν δὲ ἀμείνους τοὺς ἀνθρώπους περὶ τῶν ὑποθέσεων βουλήματι, οὐχ ἧττον διὰ τῶν γνωμῶν, ἃς ἐγκατέλιπεν ὠφελεῖ, νῦν μὲν λέγων ὅπως δεῖ προσφέρεσθαι ξένοις, ὅπως δὲ θεοῖς. πάλιν ἡ τινι γνώμη χρυσέον ἐν τοῖς ὑπὲρ πατρίδος κινδύνοις. ταῦτα μὲν οὖν ἐπαίνων ἄξια. νικᾶται δὲ περὶ πρὸς τοὺς βασιλεῖς ὑπὲρ ἀγρυπνίας εἰρημένον. καὶ γὰρ τὸν ἄρχοντα ποιήσας ἀγαθὸν, δι' ἐκείνου τοὺς ἀρχομένους ἐποίησε. θαυμάζοι δ' ἄν τις τὸ καὶ τῶν πραγμάτων αὐτῷ μελῆσαι, καὶ τῶν περὶ τούτων βουλευομένου. οἷς φεύγειν χελῶναι τὸν ὕπνον εἰπὼν, οὐ δι' ὅλου προσέθηκεν·

ἀλλ' ἠξίωσε τὸν καιρὸν τέμνειν εἰς ὕπνον, καὶ φροντίδα. Οὐ χρὴ γάρ φησι, παννύχιον εὕδειν βουληφόρον ἄνδρα, μεγάλην ἀρχὴν ἔχοντα καλῶς καὶ προσηκόντως εἰπών. ὅρα γὰρ, πόσα περιέστηκε τὸν βασιλεύοντα. πλήθους μὲν μελήσεται στρατιωτῶν, καὶ ὅπως ἔσονται κρείττους τῆς τῶν ἀντιπάλων ἀρετῆς, καὶ τῆς ἐν ὅπλοις μελέτης. εἰδὼς ὅτι μετ' ἀμαθίας τὸ πλῆθος ἄχρηστον, περὶ τούτοις ὅπλων ποιήσεται καὶ τροφῆς φροντίδα, ὅπως τὰ μὲν ἄριστα κατασκευασθείη, τὴν δὲ ἔχωσιν ἄφθονον. τοῖς δὲ παρακελεύσεται τὸ τεῖχος παρασκευάσαι, τοῖς δὲ τάφρον περιελαύνειν, τοῖς δὲ σκόλοπας καταπηγνύναι. σκοπείσθω δὲ τῶν νεῶν τὸν ἀριθμὸν, καὶ τούτων τίνες ἀκέραιοι, τίνες δὲ χρήζουσι θεραπείας. σκοπείτω περὶ τοξοτῶν, περὶ τῶν ἵππων, περὶ τῶν ὁπλιτῶν· καὶ τὰ μὲν καλῶς κείμενα φυλαττέτω, τὰ δὲ κακῶς ἐπανορθούτω πρὸς τὰ χρηστότερα, τὰ δὲ τῶν ἐναντίων ὅπως ἕξει στάσιν ποιείτω, μυρία περὶ τῶν πραγμάτων ὁ βασιλεὺς ἂν ἀπαιτοῖτο, καὶ εἰς πράξεις τὸ τῆς ἡμέρας δεῖται μέτρον, καὶ τῆς νυκτὸς οὐκ ὀλίγον ἀποδιδόναι τῇ περὶ ταῦτα προνοίᾳ· τοῦτο γὰρ αὐτῷ διατηρεῖ τὴν ἀρχὴν· ἂν μὲν ἡ νὺξ δέχηται τὰς βουλὰς, τῆς δὲ ἡμέρας φανεί-

σης

στης ἐπιτελῆ τὰ δόξαντα. ταῦτα πρὸς τὸν πολλῶν ἡγούμενον Ὅμηρος λέγει. τὸν δὲ ἰδιώτην ἀφίησι καθεύδειν. τί γὰρ ἄν τις αὐτὸν ταύτης ἀποστεροίη τῆς ἡδονῆς, δυοῖν ἀνδραπόδοιν κύριον, καὶ μνῶν τεττάρων; εἰ δὲ βούλει, πλειόνων ταλάντων. περὶ γὰρ τοσούτων πρὸς τὴν νύκτα καὶ τῆς ἡμέρας τὸ πλεῖον καθεύδων, καὶ βουλεύεσθαι δύναιτ' ἂν ἤδη. τοῖς μὲν οὖν ἰδιώταις πολλὴν παρέχει τὴν ἀνάπαυλαν τὸ μὴ περὶ πολλῶν ἀναγκάζεσθαι φροντίζειν· τοὺς δὲ βασιλεῖς τὰ μεγέθη τῶν ἀρχῶν, αἷς ἐφεστήκασιν, ἀφαιρεῖται τὸν ὕπνον. καὶ μὴν κἀκεῖνο αἰσχρόν, ταῦτα κυβερνήτην ἀμείνω εἶναι ὑπομένειν τῶν τηλικαῦτα ἐγκεχειρισμένων. νόμος γὰρ οὗτος κυβερνητῶν, κρείττους εἶναι τῶν ὕπνων δυναστείας. καί τοι τοὺς ἄλλους ὁρῶσι ὑπὸ τῶν καταστρωμάτων καθεύδοντας· ἀλλ' οὐ διὰ τοῦτο τὸν αὐτῶν ἀφέντες πόνον πρὸς τὰ ἐκείνων καταφέρονται. ἀλλ' ἴσασιν, ὅτι ναύτης μὲν ὑπὸ τῆς τάξεως, ἣν τέτακται, καθεύδειν τέτακται. κυβερνήτην δὲ ἡ τῆς νεὼς ἀρχὴ βλέπειν ἐπαναγκάζει πρὸς τὰ ἄστρα. σκόπει δὴ τοῦτον τὸν ἀγαμέμνονα, τὸν τὴν συμβουλὴν δεξάμενον, οἷος ἦν τοῖς μετὰ ταῦτα. τὸν μὲν ὕπνον ἀπεσείσατο, τοὺς δὲ ἀρίστους συνήγαγε τὰ τῶν ἐναντίων

σκεψομένους· καὶ τηλικοῦτον εἰργάσατο διὰ τῶν ἀπεσταλμένων ἔργον ἐν τῇ νυκτὶ, ὥστε τοὺς τρῶας εἰς ἀθυμίαν ἐμβαλεῖν, καὶ τοῖς ἕλλησι, καί τοι κακῶς πεπραχόσι, τεθαῤῥῆσθαι παρασχεῖν. ὁ τοίνυν οὐδὲ ὁ τῶν τρώων στρατὸς ὑπὸ τῆς δυσημερίας εἰς ῥαστώνην ἀπέκλινεν. ἀλλ' † καὶ αὐτὸς ἆθλα προὐτίθει τῆς νυκτὸς τοῖς τολμῶσι τῷ νεωρίῳ προσελθεῖν. καὶ τύχῃ μὲν ὁ δόλων ἐχρήσατο χείρονι. τοῦτο δὲ οὐκ ἐλέγχει τὴν ἕκτορος βουλὴν, ὡς οὐκ ἦν ἀγαθή. ὅλως δὲ τῆς νυκτὸς ἡ φύσις ξυμπράττει πρὸς εὐβουλίαν, οὐχ ἑλκομένου τῇδε κἀκεῖσε τοῦ λογισμοῦ καὶ τῆς ψυχῆς ἀπὸ τοῦ πλήθους τῶν πραττομένων ταραττομένης, ἀλλ' ἡσυχίᾳ ῥᾳδίως εὑρούσης τὸ δέον. ἐντεῦθεν εὐφρόνη καλεῖται παρὰ τῶν ποιητῶν ἡ νὺξ, καὶ τὴν παροιμίαν ἐποίησε, τὰς βουλὰς εἰς τὸν τῆς νυκτὸς ἄγειν καιρόν. ταῦτα δ' εἰ πάντα τοὺς βασιλεῖς ἐνθυμουμένους, ἥκιστα μὲν ὕπνῳ δουλεύειν, μάλιστα δὲ τοῦ φροντίζειν ἔχεσθαι.

† ἕκτωρ

ΑΝΑ-

ΑΝΑΣΚΕΥΗ, ΟΤΙ ΟΥΚ ΕΙΚΟΣ ἀφικέσθαι τὸν χρύσην ἐπὶ τοὺς ἕλληνας.



Υ Δ' ἄλλον μὲν ἠξίουν οὐδὲ γνώμην τῶν ποιητῶν περὶ ἀληθείας ἀμελεῖν, ἄλλως θ' ὅτι καὶ παρὰ τῶν μουσῶν κινούμενοι φασὶ λέγειν ἃ λέγουσιν, ἀλλὰ μᾶλλον σπουδάζειν ὅπως τι λέξωσιν ἀληθὲς, ἢ ὅπως τὸν ἀκούοντα τέρψωσιν. Ομηρον δὲ μάλιστα πάντων ἔδει τοῦτο φυγεῖν, οὕτως ὄντα γενναῖον καὶ μεγαλοπρεπῆ. νῦν δὲ φαίνεται καὶ αὐτὸς ψευδῆ διώκων, ἐν ἄλλοις τε οὐκ ὀλίγοις, καὶ οὐχ ἥκιστα τοῖς πρώτοις περὶ ἰλιάδος εὐθύς. λέγει γὰρ, ἐλθεῖν ἐπὶ τὰς ναῦς τῶν ἑλλήνων τὸν χρύσην ἐπὶ λύσει τῆς θυγατρὸς, καὶ ποιεῖσθαι διπλῆν τὴν ἱκετείαν, τὴν μὲν πρὸς τὸν ὄχλον, τὴν δὲ πρὸς τοὺς ἄρχοντας. τυχόντα δὲ τῶν πολλῶν, χαλεποῦ πειρᾶσθαι τοῦ κρατοῦντος, καὶ λόγους ἀκούειν ἀπειλῆς γέμοντας. ἤλγησε φησὶν οἷς ὑβρίσθη, καὶ κατέφυγεν ἐπὶ τὸν ἀπόλλωνα, δεόμενος αὐτοῦ μέμψασθαι τὰ γεγενημένα καὶ δίκην λαβεῖν παρὰ τῶν ἑλλήνων· ταῦτα φησὶ ὅμηρος. τούτοις οὐ πείθομαι. πῶς γὰρ ἂν ἐτόλμησε γέρων ἄνθρωπος παρὰ τοὺς πολεμίους ἐλθεῖν, ὃ μηδὲ νεανίας ὑπέμεινεν ἄν; οὓς γὰρ ἐπιόντας φεύγειν εἰκὸς,

πῶς εἰς τούτους ἐλθεῖν ἂν ἐθέλησεν, οὓς ἤδει μισοῦντας Ἴλιον, πορθοῦντας τοὺς περιοίκους. ὁ πόθος τῆς θυγατρὸς ταῦτα ἠνάγκαζεν; ἀλλ' ὁ φόβος τῶν ἐναντίων ἐκώλυε. ἦν δ' ἱκανὰ ἐκεῖνα παραμυθεῖσθαι. πρῶτον μὲν τὸ μὴ μόνον δυστυχεῖν, ἀλλὰ σὺν ἄλλοις πολλοῖς, ὧν παῖδες οἱ μὲν ἐτεθνήκεσαν, οἱ δὲ κατείχοντο. ἔπειτα τὸ τοῦ βασιλέως τὴν αὐτοῦ θυγατέρα τάξιν ἐν τοῖς Ἕλλησιν ἔχειν. ἤκουε γὰρ ἴσως παρὰ τῶν ἀγγελλόντων, τὴν περὶ τὸ γύναιον τοῦ βασιλέως σπουδήν, ὡς ἀγαπᾶται, καὶ ὡς θαυμάζεται, καὶ πάντα ἐστὶν αὐτοῦ. τοῦτο δὲ καὶ κουφίζειν αὐτοῦ τὴν λύπην ἠδύνατο, καὶ φόβον παρέχειν αὐτεῖν ὑπὲρ χειρόνων. νὴ Δία, ἀλλὰ τῷ σκήπτρῳ καὶ τοῖς στέμμασιν ἐθάρρει; καὶ τίς λόγος τοῖς πολεμίοις τῶν παρὰ τοῖς ἐναντίοις θεῶν; οὐχ ἑώρα τὰς ὑπ' Ἀχιλλέως πόλεις πλείους ἢ εἴκοσι, ἐν αἷς τεμένη πολλά, πολλοὶ δὲ βωμοί, πολλοὶ δὲ νεῴ, πολλὰ δὲ ἀγάλματα, οἷς πᾶσι σίδηρον καὶ πῦρ ἤνεγκαν Ἕλληνες; πῶς οἱ ταῦτα ἐν φαύλῳ πεποιημένοι πάντα, ἔμελλον χαριεῖσθαι τῷ Χρύσῃ διὰ τὸ σκῆπτρον; πόσης δ' ἀνοίας, τὸ τοὺς ἀρχομένους μετὰ τούτου ἱκετεύειν; εἰ μὲν γὰρ ὁ ὄχλος ἐκράτει, τί τοῖς Ἀτρείδαις διελέγετο; εἰ δὲ τῶν Ἀτρειδῶν τὸ κράτος, τί τῶν πολ-

λῶν

λῶν ὄφελος, ἀλλὰ δεδόσθω τοῦτο ὑπὸ τῆς λύπης ἁμαρτάνειν τοῦ προσήκοντος. οἱ δὲ Ἕλληνες δοκοῦσιν ἄν, ὡς δεῖν ὅτι τοῖς ἄρχουσιν ἀρέσκει μαθεῖν, συναγορεῦσαι τῷ γέροντι, καὶ βοηθῆσαι. τοῦτο γὰρ ἦν καταλύειν τὴν ἀρχὴν, καὶ τὴν ἐξουσίαν εἰς αὐτοὺς μεθιστάναι. ἀλλὰ ταυτὶ μὲν δημοκρατίας, βασιλείας δὲ ἡ τοῦ δυναστεύοντος γνώμη νόμος τοῖς † ἄρχουσιν ἐστίν. εἰ δ' οὖν ὡς ἀληθῶς συνέβη τι τοιοῦτο, καὶ τὴν τοῦ βασιλεύοντος γνώμην ἡ τῶν ἀρχομένων διέφθασε, δοκῶ μοι μήπω τὸν ἀγαμέμνονα φιλονικῆσαι, καὶ μάταιον ἐκείνοις ἀποφῆναι τὴν σπουδήν. εἰδὼς ὅσαι κατελύθησαν τῶν ἀρχῶν διὰ τὴν τῶν ἀρχομένων ἀπέχθειαν. οὐ γὰρ ἐν πλήθει χειρῶν, οὐδ' ἐν ὑπερβολῇ γνώμης τῆς ἑαυτῶν ἔχουσιν οἱ κρατοῦντες τὸ βέβαιον· ἀλλ' ἐν τῇ τῶν ὑπακουόντων εὐνοίᾳ, ἣν εἴ τις μεταστήσειεν εἰς τὰ ἐναντία, ῥάδιον μεταστῆναι, καὶ καθελεῖν τὴν ἀρχήν. τοῦτο δὴ οὖν καὶ σώματος ἑνὸς ἐφύλαξεν ἄν, καὶ ἐπρίατο τὴν βεβαιότητα τῆς ἀρχῆς. τόν τε πρεσβύτην οὐκ ἔσθ' ὅπως ἂν ὕβρισεν, οὔτε αὐτὸν, οὔτε τὸ σκῆπτρον τῷ ἄπρακτον πέμπειν, εἰδὼς ἀπαίδευτον τὸ πρᾶγμα καὶ ἀσελγὲς, καὶ πρέπον ἀγοραίοις τισὶ μᾶλλον ἢ βασιλεῖ. τί δ' ἂν καὶ

† ἀρχομένοις

πλέον ἐπὶ τῶν ὑβρισμάτων ἐγίνετο, κατέχοντος τοῦ ἀνθρώπου; δῆλον γὰρ τοῦτο καὶ τὸ εἰπεῖν, ματτὴν ἥκεις. οὐ λύσω. τὸ δὲ εἰς θεοὺς παροινίας οὐχ ὁρῶ τὸ κέρδος. ὅμως δὲ τίς ἡ ταραχὴ τῆς γνώμης; ὡς μὲν γὰρ αἰδούμενος τὸν θεόν, οὐκ ἀπέκτεινεν. ὡς δὲ οὐ προσποιούμενος, ἠτίμαζε. τὸ δὲ τὴν ἀρὰν κατὰ τῶν ἑλλήνων γενέσθαι, τίς ἂν πιστεύσειεν; οὐδὲ γὰρ μικρὸν μειρακυλλίδιον κομιδῇ, πρὸς τοῦτο ἂν ἦλθεν ἀνοίας, ὥστε παρὰ τῶν βεβοηθηκότων τιμωρίαν ζητεῖν. νῦν ὁ πρεσβύτης, ὁ ἱερεύς, ὁ περὶ τοῖς ἀγάλμασι βεβιωκώς, ὁ τῷ θεῷ φίλος, ὁ τοῖς ἄλλοις δικαιοσύνης διδάσκα-

φιλανθρώ- λος, πειρᾶται κινεῖν τὰ τοῦ θεοῦ βέλη κατὰ τῶν † ἀν-

πων θρώπων ἑλλήνων. καὶ θαυμάζω τὸ πάντων δεινότατον. ὁ μὲν αἰτεῖται οὕτως ἄτοπα, ὁ δὲ πείθεται καὶ δίδωσιν, ὁ λητοῦς καὶ διός, ὁ μισῶν τοὺς ἀδικοῦντας. οὐκ ἔστιν ὅπως ἐγὼ τούτῳ πεισθήσομαι. ἃ γὰρ οὐδὲ τοὺς βελτίστους ἔξεστιν ἁμαρτεῖν τῶν ἀνθρώπων, πῶς ἂν ὑπὸ τῶν οὐρανὸν ἐχόντων πλημμελοῖτο; ταῦτα καὶ ψευδῆ, καὶ βλαβερὰ τοῖς ἀκούουσι. καὶ προσήκει τῶν ποιημάτων ἢ παντάπασιν ἀπέχεσθαι, ἢ ψυχαγωγίας ἕνεκεν ἀκροᾶσθαι εἰδότας, ὅτι τοῦτο μὲν δυνατοὶ ποιεῖν, ἀληθείας δὲ ὠλιγώρηκεν.

ΚΑΤΑΣΚΕΥΗ, ΟΤΙ ΕΙΚΟΤΑ τὰ περὶ κρίσιν τοῦ ἀχιλλέως ὅπλων.



ΘΑΥΜΑΖΩ τῶν ὁμολογούντων μὲν, λεπτὸν εἶναί τι τῶν ποιητῶν γένος μανίας, αὐτοῖς δὲ τούτοις τολμώντων ἐπιτιμᾶν, εἰ μὴ δύναιντο συνεῖναι τοῦθ' ὅτι τὰς μούσας ἐν ταῖς τῶν ποιητῶν αἰτίαις διαβάλλουσι. τὰ μὲν γὰρ λεγόμενα ἐκείνων· ἡ φωνὴ δὲ τούτων. ἀλλ' οἵγε συκοφάνται πρὸς τοσοῦτον ἥκουσι θράσους, ὥστε πλάσματα πειρῶνται δεικνύειν τὰ μετὰ τὴν τελευτὴν ἀχιλλέως, περὶ τῆς πανοπλίας ἐκείνου διαλεγόμενα· καί τοι πρὸς τοὔσχατον ἀληθείας ἥκει. σκοπῶμεν δέ. τὸ μὲν σῶμα εἶχεν ἡ θέτις τοῦ παιδὸς, μισθὸν δὲ ἔθηκεν εἰς μέσον τῷ κεκομικότι τὰ ὅπλα. ἐπειδὴ γὰρ αἴας τε καὶ ὀδυσσεὺς αὐτὸ ἔφασκεν ἑκάτερος τοῦτο πεποιηκέναι, νομίσασα μηδετέρῳ δεῖν χαρίσασθαι, δικαστηρίῳ καὶ ψήφῳ ταῦτα ἀφῆκεν. ἦν μὲν γὰρ αὐτῇ καὶ ἕτερα δοῦναι. τοιοῦτον δὲ εἶχεν οὐδέν. ἄλλως τε καὶ μέλλουσα στρατιώτας ἀμείψασθαι· πάσας γὰρ δὴ † μικρῶν χεῖρας ὑπερέβαλ- μακρῷ
λεν ἡ περὶ ταῦτα τέχνη. καὶ ἅμα ᾔδει καλῶς, ὅτι κείμενα μὲν οἴκοι διαφθαρήσεται. κοσμήσαντα δ' ἕτερον, ἀθάνατον καταστήσει τοῦ παιδὸς

τὴν

τὴν μνήμην. ὁ γὰρ ἰδὼν καὶ θαυμάσας, εὐθὺς αὖ ἤκουσε τὸν τούτων διαπότην. λαβὼν τοίνυν ὁ δυσσεὺς, οὗπερ ἐβούλετο τὸν αἴαντα· τὸ δὲ ὅσιν ἐν ἀγῶνι λόγων· παῖδα ἄντικρυς ἀπέφηνε. καὶ γὰρ εἰ μηδὲν εἶχε λέγειν δίκαιον, τῇ γε δυνάμει τῶν λόγων τἀληθὲς διέστρεφε, λογιζόμενος. τῇ δὲ κακεῖσαι, τεχνάζων, πάσῃ δεινότητι χρώμενος. ταῦτα γὰρ ἦν ὀδυσσέως ἰσχὺς, ἃ ῥητορικῇ δυνάμει καὶ τὴν δόξαν ἐν τοῖς ἕλλησιν ἐντεῦθεν εἶχεν. ὅταν δὲ εἴπω ῥήτορα, ἄνθρωπον λέγω τὰ μεγάλα μὲν ἱκανὸν ὄντα μικρὰ δεῖξαι, τὰ μίκρα δὲ μεγάλα· καὶ τὰ μὲν ἄδικα δίκαια, τὰ δὲ δίκαια οὐ τοιαῦτα. ὁ δ' αὖ τοῦ τελαμῶνος ἕτερα ἠπίστατο, ἕτερα πεπαίδευτο· τρέψαι στρατόπεδον ἐναντίων, ἀποσφάξαι πολλοὺς, δέξασθαι προκαλούμενον, κρατῆσαι ῥαδίως, ἀντισχεῖν πρὸς δύσκολον τύχης, ἀπὸ τῆς χειρὸς συμβαλέσθαι πράγμασιν. ὥσπερ οὖν εἰ διὰ ὅπλων ἔδοξε περὶ τῶν ὅπλων κρίνεσθαι, τὸν αἴαντα πάντως ἔδει νικῆσαι, οὕτως εἰς λόγους τοῦ πράγματος ἥκοντος, οὐ δεῖ θαυμάζειν εἰ τὰς ψήφους ὀδυσσεὺς ἠνέγκατο. ἐπεὶ καὶ νῦν καθ' ἑκάστην ἡμέραν πολλοὺς ὁρῶμεν ἐν τοῖς δικαστηρίοις, μετὰ μὲν τῶν δικαίων εἰσιόντας, ἀπιόντας δὲ ἡττημένους, οὐ χρή-

μασι

μασι τοῦ δικάζοντος διαφθαρέντος, ἀλλὰ τέχνῃ τοῦ λέγοντος ἀπατήσαντος. τὸν οὖν παρ' ἀξίαν καὶ περιφανῶς ἡττημένον, τί χρὴ ποιεῖν; ἐπαινεῖν μὲν τοὺς δικαστάς· ἐπαινεῖν δὲ τὸν νενικηκότα. παρελθόντα δὲ ὀδυσσεῖ μαρτυρεῖν, ὡς αὐτὸς ἦν τὰ πάντα τοῖς ἕλλησι, γελοῖον· ἀλλ' ἀθυμεῖν καὶ λυπεῖσθαι καὶ ὀργίζεσθαι καὶ χαλεπαίνειν. οὐκοῦν ταῦτα φασὶν ἂν οἱ ποιηταὶ πεποιηκέναι. ἦν μὲν τοίνυν ἀνάνδρου καὶ δειλοῦ καθ' ἡσυχίαν ἀλγεῖν. ἀνδρὸς δὲ μεγαλόφρονος, ἦν δὲ οὗτος ὁ τελαμῶνος, καὶ δίκας ἐπιζητεῖν παρὰ τῶν ἠδικηκότων λαβεῖν. ὅπερ τοίνυν ὁρᾷς καὶ προθυμηθέντα, καὶ πράττοντα. λαμβάνει μὲν τὸ ξίφος. φέρεται δὲ θυμῷ κατὰ τῶν μὴ δίκαια γνόντων, κατά τε τῶν μὴ δίκαια κεκρατηκότων. βλάπτει δὲ ἀθηνᾶ τὰς φρένας, καὶ τρέπει τὸν ἄνθρωπον ἐπὶ τὰ ποίμνια. εἰκότως. ἐκείνων γὰρ εἶχε λόγον τὸ ἐπιβουλεύειν, ταῦτα δὲ τὸ κωλύειν. ὁ μὲν γὰρ ὃ τῶν ἐχθρῶν καὶ λελυπημένων ἐποίει· ἡ δὲ τὸ τοῦ κηδεμόνος καὶ βοηθούσης ἐπλήρου. τοιαύτη γὰρ ἡ θεός, διαπαντὸς παροῦσα τοῖς ἕλλησι, σώζουσα, ῥυομένη κινδύνων, κέρδος παρέχουσα. τοῦ κινδύνου τοίνυν παρελθόντος, καὶ † τῶν κινδύνων ὄντων ἐπὶ τῆς ἀσφαλείας, ἀπειλήφει τῶν κινδυνευόντων.

μὲν

μὴ ὄντος τὸ δύνασθαι λογίζεσθαι. ὁ νοῦς δὲ ἅ τε ἐπεχείρησεν, ὧν τε ἡμάρτεν ἀποθανεῖν ἠξίου, τὴν ἀπὸ τῆς μανίας ἀδοξίαν οὐ φέρων. τοιοῦτοι γὰρ οἱ γενναῖοι, καὶ τοὺς πολλοὺς ὑπεραίροντες, εἰ μὴ σὺν καλῷ τῷ σχήματι δέοι ζῆν, κουφότερον ἡγοῦνται τὴν τελευτήν. τί γὰρ αὐτὸν ἐβούλου πράττειν, δείξαντα μὲν τὴν ἔχθραν, ἀποσφαλέντα δὲ τοῦ πέρας; ποῦ ζῆν, ἢ πῶς, ἢ τί πράττοντα; παρὰ τοὺς Τρῶας ἐλθεῖν ἔδει, καὶ θεῖναι ἱκετηρίαν, μετὰ τοὺς πολλοὺς ἀγῶνας καὶ μάχας καὶ νίκας; ἀλλὰ καὶ τῆς αἰσχύνης χωρὶς οὐδὲν ἧττον ἦν τὸ πάθος, ὅτι φάσονται τοι τὰ τοιαῦτα δεδρακότος τὴν ἐκείνων πόλιν. ἀλλὰ μετὰ τῶν ὁμοφύλων, ὥσπερ πρότερον, διατρίβειν; ποίων; τῶν ἀπεσφαγμένων, τῶν κατακοπέντων, τῶν ἀπολωλότων τὸ ἐκείνου μέρος; καὶ ποίοις ἂν ὀφθαλμοῖς εἶδε τοὺς Ἀτρείδας; ποίοις ἂν τὸν Ὀδυσσέα; πῶς δ' ἂν ἐκεῖνοι λαβόντες ἀπέσχοντο, καὶ οὐ κατέλυσαν; οὐ γὰρ δὴ τῆς μανίας ἣν ἐμάνη, μισθὸν ἡγήσατ' ἂν ὀφείλειν αὐτῷ. λοιπὸν τοίνυν ἦν, καθελκύσαντα τὰς ναῦς ἀποπλεῦσαι, ποῖ μέλλοντα προσορμεῖσθαι τὰς ναῦς; εἰς τὸν λιμένα τῆς Σαλαμῖνος; καὶ τί καλὸν ἂν εἶπε πρὸς τὸν πατέρα περὶ τῶν ἀπὸ Τροίας πραγμάτων ἐρωτῶντα; τί δὴ τὸν πόλεμον ἀφεὶς ἀτελῆ παραπή-

ργον; οἷος ἂν ἦν διηγούμενος τὸν ἀγῶνα, τὴν κρίσιν, τοὺς λόγους, τὴν ψῆφον, τὴν ἧτταν, ἣν ἐζήτησε δίκην τῆς γνώμης, τὴν νόσον. εἰ δὲ δεῖ τὴν ἁπάντων τούτων λύσιν εὑρεῖν καλῶς πρέπουσαν, καὶ ἐλευθέραν τῆς αἰσχύνης ἀπαλλαγὴν εὕρατο, μὴ περιμείνας ἀνδρὸς δυσμενοῦς δεξιάν, ἀλλ' ἀφήσας αὑτῷ πρὸς θάνατον.

ΚΑΤΑΣΚΕΥΗ, ΟΤΙ ΕΙΚΟΤΑ τὰ κατὰ τὴν ἀχιλλέως ὀργήν.



ΛΕΕΙΝ ἄξιον τοὺς κατηγοροῦντας τοῦ ποιητοῦ, εἰ δὴ τοὺς ἔκφρονας καὶ μεμηνότας ἐλεεῖν ἄξιον. πῶς γὰρ οὐκ ἐξεστήκασι σαφῶς οἱ τούτοις ἐπιλαμβάνοντες, ὧν πλεῖστον εἰσὶ τῆς σοφίας ἀπολειπόμενοι; θαυμάζω δὲ εἰ μὴ τοῦτο δύνανται μαθεῖν, ὅτι προσποιοῦνται μὲν ἐκείνων, κατηγοροῦσι δὲ τῶν μύθων. εἰ γοῦν ἐκ τοῦ παρὰ τῶν μύθων συνδύματος οἵδε ποιοῦσιν, οἱ δὲ τούτους λέγουσι καλῶς ἐπ' ἐκείνας ἰέναι τὰς αἰτίας τῆς ποιήσεως. πᾶσι δὲ οὖν οἶμαι δεῖν βοηθεῖν τοῖς ποιηταῖς, ὁμήρῳ δὲ καὶ πρὸ τῶν ἄλλων δίκαιον, κοινῷ προγόνῳ τῆς ἑλληνικῆς σοφίας γεγενημένῳ. ἤδη γάρ τινες καὶ ἐπ' αὐτὸν ἀφῆκαν τὴν γλῶσσαν, λέγοντες

τες

τοῦ οὐδὲν γεγονέναι τούτων, ἀφ' ὧν ὀργισθῆναι τὸν ἀχιλλέα συνέβη. δεικτέον τοίνυν ἡμῖν ὡς πάντα γέγονε, καὶ λόγον εἶχεν ὁ θυμός. διὰ τί γὰρ οὐκ ἂν ἧκεν ὁ χρύσης ἐπὶ λύσιν τῆς θυγατρὸς παρὰ τοὺς ἕλληνας. οὐκ ἦν πατὴρ, οὐχ ὑπὸ τῆς φύσεως νόμου, προκινδυνεύειν τῶν ἐγγόνων; οὐχ ὑπὲρ τούτων ὅπλα λαμβάνομεν, καὶ παρατάττομεθα, καὶ προσπίπτομεν ἡδέως ταῖς ἡμετέραις χερσὶ κτώμενοι τὴν ἐλευθερίαν ἐκείνοις. ὁ δὲ καὶ γέρων ἦν, καὶ οὐκ ἦν λόγος αὐτῷ περὶ μακροῦ βίου· ἀλλὰ καὶ τὴν σωτηρίαν ὑπισχνεῖτο, καὶ τὴν δόσιν ἔπειθεν οὐ μάτην ἔσεσθαι, τὸ πλῆθος τῶν λύτρων. τὸ τοῖς ἕλλησι δεῖν χρημάτων ἐπ' ἀλλοτρίας καθημένοις, καὶ τοὺς αὐτοὺς τούτους πολλάκις ἀφεικέναι αἰχμαλώτους χρημάτων. οὐ γὰρ αὐτὸς ἦρχε τοῦ καταδείξων τὸν νόμον, ἀλλὰ παλαιῷ χρησάμενος. μεγάλη δὲ κἀκείνη συμμαχία τὸ τῶν ἱερῶν προεσχηκέναι, τὸ τοῦ θεοῦ δεικνύναι τὸ σκῆπτρον, τὸ φέρειν στέμματα. τοὺς γὰρ ἕλληνας ὄντας ἕλληνας, οὐ ῥᾳδίως ἡγεῖτο τούτων ὑπερόψεσθαι, εἰ κατηγοροῖτο τοῖς τρωσί, καὶ συνήχθαι τούτοις μὴ θαυμάσῃς. ᾔδει γὰρ ὡς οὐδὲν ἠδίκουν οἱ ἕλληνες, οἱ δὲ τούτους μᾶλλον ἠδίκουν, καὶ τῶν τρώων οἱ πρόσοικοι πλεῖστα ἐπεπόνθεσαν

ϖόνθεσαν διὰ τὴν ἐκείνων ὕβριν. εἰ γὰρ ἐκεῖνοι τὸ δίκαιον ἐτίμων, οὐδὲν ἂν ἦν τούτοις κακόν. εὖ δὲ τὸ στρατόπεδον καὶ ἐψηφίζετο δοῦναι. τοιοῦτον γὰρ τὸ πλῆθος, ὀξὺ πρὸς ἔλεον, καὶ δεινὸν ἐπικαμφθῆναι πρὸς οἶκτον, καὶ ἅμα μετὰ τῆς αὐτοῖς παῤῥησίας. οὐ γὰρ ἐδούλευον, ἀλλὰ γνώμῃ συνεμάχουν. ὁ δ' ἀγαμέμνων ἄρχων ὢν καὶ τοῦ λογίζεσθαι τοὺς πολλοὺς πλεονεκτῶν, καὶ τὸ πρᾶγμα ἐξετάζων καλῶς, οὐκ ἐνεδωκεν, εὖ φρονῶν. πρῶτον γὰρ μὲν ἤδη κατελύσων τὴν ἀρχὴν, εἰ πάντα ἐπὶ τοῦ στρατοπέδου ποιεῖτο· δεύτερον δὲ, ἠπίστατο μικρὰ τὰ αὐτοῦ ποιήσων, εἰ τοῦ γέρως ἀποστεροίη. τρίτον δὲ, προδώσων τὸν ἀδελφὸν, εἰ τῆς ἑλένης παρ' ἐκείνοις οὔσης, αὐτὸς ἀποπέμπει τοῖς πολεμίοις τὰς ἐκείνων γυναῖκας, καὶ γένοιτο πρᾶος εἰς πονηρούς. καὶ μὴν κἀκεῖνο ἐφύλαττε, μὴ τῶν αἰχμαλώτων ἡ πρόφασις, ἀφορμὴ γένοιτο τοῖς ἐναντίοις κατασκοπῆς· καὶ δοκοῦντες ἐπὶ λύσει φοιτᾶν, ἐκμανθάνοιεν τὰ τῶν ἑλλήνων. τοῖς στέμμασι δὲ οὐ προσεῖχεν ὁ βασιλεὺς, πολέμου νόμῳ. ταῦτα γὰρ πρότερον μὲν ἂν ᾐδοῦντο· νῦν δὲ τούτων ἀπέχονται. ἀλλ' ἅμα τε ἐμβαίνουσιν εἰς πόλεμον ἄνθρωποι, καὶ πάντα τὰ τῶν ἐναντίων δυσμενῆ κέκριται, ἡ γῆ, οἱ τάφοι, ὅλα

ἱερά. εἰ δὲ τὸ σκῆπτρον αὐτὴν ἐποίησε μετριώτερον, τί ἂν ἐκώλυε τὸν γέροντα ἐκεῖνον αὐτὰ ταῦτα προτεινόμενον, ἀξιοῦν αὐτὸν ἀποστῆναι τῆς τροίας; οὕτως ἰὼν μὲν σωφρόνως ὁ βασιλεὺς, ὑπερεῖδε τῆς ἱκετηρίας. θαυμαζέτω δὲ μηδεὶς, εἰ κατὰ τῶν ἑλλήνων ἐκάλει τὸν θεὸν ὁ πρεσβύτης, οἳ συνηγόρουν αὐτῷ. πρῶτον μὲν γὰρ οὐ διὰ τέλους αὐτῷ συνηγωνίσαντο, οὐδ' ἔπραξαν ὅπως ἀπολήψεται. ἀλλ' ἐνδειξάμενοι τινὰ φιλανθρωπίαν, κατέλυσαν τὴν σπουδήν· ὥστ' οὖν αὐτοὺς εἰρωνεύεσθαι μᾶλλον, ἢ παντὶ θυμῷ βοηθεῖν. εἰ γὰρ ἤθελον ἀφελόμενοι δοῦναι, τίς ἦν ἐμποδών; αἱ χεῖρες ἀγαμέμνονος ἢ δία. πρῶτον μὲν οὖν, ὅπερ ἔφην, κατὰ ἀνθρώπων οὐ πάντα αὐτῷ κεχαρισμένων ηὔχετο. ἔπειτα τοῦτο ᾔδει μάλιστα τὸν ἀγαμέμνονα λυπήσειν, εἰ τὰ πράγματα αὐτῷ διαφθαρείη, καὶ διασείη τὴν δυναστείαν, καὶ κατάγη τὴν ἀρχήν. οὐ γὰρ ἴσον ἀνθρώποις συμφορᾶς ἀπελθεῖν εἰσάπαξ, ἢ ζῆν εἰς ἀθυμίαν. ὁ μὲν γὰρ τεθνεὼς, ἀναίσθητος κείσεται· ὁ δὲ ἐν τῷ ζῆν αἰωρούμενος, ὡς ἀληθῶς κολάζεται. πρὸς δὲ τούτοις ᾔδει τοῦτο, ὅτι τοῦ μὲν τελευτήσαντος ὁ πόλεμος πέπαυται, καὶ μετὰ τῶν ἑλλήνων οἰχήσεται τὸ θυγάτριον. εἰ δὲ τὸ στρατόπεδον πιέ-

ζοιτο

ζοιτο νόσῳ, καὶ ἁλίσκοιτο, ζήτησις μὲν ἔσαι τοῦ και-
ροῦ. φανείσης δὲ ἡ πρόφασις, καὶ κομιεῖται τὴν παι-
δια. διὰ τοῦτο καὶ αὐτὸς ταῦτα ᾔτει, καὶ θεὸς ἔχα-
ρίζετο τῷ θεράποντι τὴν νεῶν αὐτεισφέρων τὰς
ἀμοιβάς. τῶν τοίνυν ἑλλήνων πιπτόντων ἀχι-
λεὺς αἰσθάνεται πρώτων, ὅτι ποτ᾽ ἦν τὸ συμ-
βάν. ἀλλὰ τί ἐβούλου τὸν ἀγαμέμνονα, τὸν ὀδυσ-
σέα, τὸν νέσορα πρὸ τοῦ γὰρ ἰατρικῆς ἐπιστήμονος;
συνετὸς ὁ νέσωρ, ὁμολογῶ. ἦν δεινὸς ὁ ὀδυσσεύς,
οὐδὲ τοῦτο ἀπιςῶ. ἀλλὰ τούτων ἑκάτερος ἴσχυεν
ἐν ἐκκλησίαις, ἐν τῷ δέον ἰδεῖν, καὶ δεῖξαι τι
τὸν πόλεμον ὀνήσει. ὅπου δὲ καὶ λοιμὸς, καὶ νό-
σος, ὁ καιρὸς τὸν ἰατρὸν ἐκάλει. ὥστε λανθά-
νειν, εἰ τὸν ἀχιλλέα μὲν ἐλάνθανεν. ὑπ᾽ ἐκείνων
δὲ τὸ λυποῦν ἐγίνετο, δέον τούτῳ πρὸ τῶν ἄλ-
λων γενέσθαι τοῦ πράγματος αἴσθησιν· φαίην δ᾽
ὅτι καὶ γνόντες, οὐκ ἂν εἰς μέσον ἤνεγκαν τὸ κα-
κοῦ τὸν λόγον. πολλὰ γὰρ πολλοῖς συνόντα σι-
γᾶται τῇ πρὸς τοὺς ἄρχοντας χάριτι. ἔτι δὲ πολ
λαχόθεν ἔχων τὸ μέγα φρονεῖν, εἰκότως ἐχρῆτο
παρρησίᾳ δικαίᾳ, καὶ οὐκ ἠξίου κρύπτειν ἃ γνοίη.
καὶ συνῆγεν εἰς ἐκκλησίαν κύριος ὤν, φαίην ἄν,
καὶ τοῦ πολέμου κεφάλαιον. σὺ δ᾽ ἐβούλου τὸν ἀχιλ
λέα πονεῖν μὲν ὑπὲρ τοὺς ἄλλους, ἄκυρον δὲ εἶ-
ναι τοῦ ποιεῖν ἐκκλησίαν τὸν αἴροντα τὰς πό-

λεῖς, τὸν καταστρεφόμενον, τὸν κομίζοντα λάφυ-
ρα, τὸν περιέχοντα πλουτεῖν, τὸν κατακλείοντα
τοὺς τρῶας, ἐν ᾧ τὰς ἐλπίδας εἶχε τοῦ πολέμου
ἀνακειμένας ὁ στρατός. οἱ δὲ ἕλληνες, εἰ καὶ μὴ
πρότερον ὑπήκουον καλοῦντος, τότ' ἂν ὑπή-
κουον. διὰ τί; ὅτι τὸ νοσεῖν καὶ κακῶς πράττειν
πολλὰ τῶν καθεστηκότων ἐκίνει. καὶ τὸ προσδο-
κᾶν ἀκούσεσθαί τι χρηστὸν, ταχέως αὐτοὺς συνή-
γαγεν. οὕτω γὰρ τῶν ἐν ἀτυχίαις ὁ τρόπος
ἄγεσθαι ὑπὸ τῶν ἐλπίδων τὸν νοῦν. οὐκοῦν ὅτι
μὲν λοιμὸς ἦν τὸ κατέχον, ἀπὸ τῆς τέχνης ἦν ἰ-
δεῖν. τὸ δὲ ὅθεν ὁ λοιμὸς ἐπεπτώκει, τοῦτο τοῦ μάν-
τεως ἐγίνετο. οὐκοῦν συνῆγε μὲν εἰς ἐκκλησίαν.
ὡς εὐδοκιμῶν ἀπὸ τῶν ἔργων. εὑρίσκει δὲ τοῦ κα-
τὰ τὴν φύσιν, ὡς ἰατρός. ἐκάλει δὲ ἐπὶ τὴν δή-
λωσιν τῆς αἰτίας τὸν ταῦτα ἀνιχνεύοντα τῇ
μαντικῇ. ὁ δὲ ἔδεισεν, εἶτα ἐθάρσησεν. ἑκα-
τέρου οὐκ ἄνευ λόγου. τὸν μὲν γὰρ ἀγαμέμνο-
να λυπήσων ᾔδει, καὶ διὰ τοῦτο ἐφοβεῖτο. λα-
βὼν δὲ ἐγγυητὴν τῆς σωτηρίας, τὸν φόβον ἀνεῖ-
λεν, ὥστε καὶ εἰκότως σιγᾷ τὴν πρώτην, καὶ
μετὰ τοῦτο φθέγγεται. τῷ δὲ ἀγαμέμνονι τὰ τρία
λόγον ἔχει· καὶ τὸ τὸν μάντιν ὑβρίσαι, καὶ τὸ
τὴν θυγατέρα τοῦ χρύσου ταχέως ἀποπέμ-
ψαι, καὶ τὸ ἀχιλλέως ἀφελέσθαι γέρας. τὸ μὲν
γὰρ

γὰρ ὡς ἐρῶν ἐποίησε· τὸ δὲ, ὡς τοῦ στρατοῦ κηδόμενος· τὸ δὲ, ὡς τιμῆς ἀντιποιούμενος. ἤλγησεν; ἐπεθύμει γὰρ τῆς γυναικός. ἀπέδωκεν; ἠνάγκαζε γὰρ τὸ καιρόν. ἀφηρεῖτο τὸ ἀχιλλέως γέρας; δεινὸν ἡγούμενος τοῦ μὲν εἶναι, ἑαυτῷ δὲ μὴ εἶναι. ὁ δὲ, τῆς κόρης ἀπέστη, τὸν θεσμὸν τῆς ἀρχῆς αἰδούμενος. τοῦ πολέμου δὲ ἀπέστη, παροινεῖσθαι μὴ φέρων. καὶ ἅμα τοῖς ἀχαιοῖς δεῖξαι βουλόμενος, τὴν ἐν τῇ παρουσίᾳ ῥοπὴν ἐκ τῆς ἀπουσίας. οὕτω πάντα μετ' ἀληθείας εἴρηται τῷ ποιητῇ. καὶ παραφρονοῦσι σαφῶς οἱ τὸν σοφώτατον ὅμηρον καλῶς λέγειν ὑπεχέροντες.

ΚΟΙΝΟΣ ΤΟΠΟΣ
κατὰ ἀνδροφόνου.



ΤΙ μὲν καὶ τὴν γραφὴν ἡμεῖς ὑπὲρ πᾶσι δικαίοις πεποιήμεθα, καὶ τοῖς λελεγμένοις ὅτῳ ἔνοχος ἐστὶν, οἶμαι πάντας ὑμᾶς ἀκριβῶς ἐξ ὧν εἴρηκα μεμαθηκέναι. δεῖ τοίνυν ὃ λοιπὸν ἐστὶ τοῖς ἐλέγχοις προσθεῖναι. τοῦτο δέ ἐστι ψῆφος τῆς ὀργῆς τῶν ἀδικημάτων ἀξία. ἢ πλέον οὐδὲν τῶν ἡμετέρων λόγων, εἰ τὰ παρ' ὑμῶν ἐλλείποι. κατηγορίας

γὰρ προσήκουσα τὴν ἀγανάκτησιν, προσλαβοῦσα τῶν δικαστῶν, ἰσχυρὰ γίνεται. ταύτης δ' ἀπούσης, φλυαρία φαίνεται. πολλῶν δὲ ὄντων εἰς ἃ δεῖ βλέποντας ὑμᾶς παροξυνθῆναι, τὴν ἀρχὴν ἀπὸ τῶν νόμων ποιήσασθαι βούλομαι τῶν φονικῶν, οἳ πάντων τῶν παρ' ὑμῖν εὐδοκιμούντων, πολὺ τῶν ἄλλων ἀκριβέστερον ἔχουσι. τί οὖν ἐκεῖνοι λέγουσι; πάντων τῶν κατὰ ἀνθρώπων τετολμημένων, τοῦτο εἶναι δὴ τὸ δεινότατον. καὶ διὰ τοῦτο χερνίβων εἰργέσθω φησί, σπονδῶν, κρατήρων, ἀγορᾶς, ἱερῶν, ἢ κἂν ὑπὸ τὰς ψήφους ἔλθοι, θανάτῳ ἐζημιώσθω. κάλλιστον μὲν οὖν, καὶ τῶν μεγίστων ἀγαθῶν, τὸ μυστηρίων μετέχειν. ἀλλὰ καὶ τούτων τῶν μυστηρίων ἀποκεκλείκασι, καὶ οὐδὲ τοῖς ἀκουσίοις φόνοις παντελῶς συγγνώμην εἴασαν εἶναι. ἀλλὰ μισοῦσι μὲν μειζόνως τοὺς ἑκουσίους, τιμωρίαν δὲ κἀκείνοις εὑρήκασι, φυγὴν τάξαντες, δι' ὧν ὅτιν ἀποστερεῖσθαι τῶν τῆς οἰκίας καλῶν. οὕτω δὲ δεινὸν καὶ θεοῖς ἐχθρὸν ἡγήσαντο τὸν ἀνδροφόνον, ὥστε κἂν τὸν αὐτὸν ὄροφον ὑπέλθοι τις τῷ τοῦτο τετολμηκότι, κοινωνὸς τῆς ἀδικίας νενόμισται· καὶ τοῦ δεδρακότος οὐ πολὺ μειότερος, ὁ τῷ δεδρακότι συγγινησόμενος. καὶ πρὸς εἰδότας αὖ λέγοιμι τὰ λοιπά, διόπερ παρήσω. περὶ γὰρ

τούτοις

τούτοις ἐπεξιόντι μετὰ ἀκριβείας, οὐκ ἂν εἴη μνημονεῦσαι τῶν ἄλλων. διὰ δ' οὖν τοσαύτης προνοίας καὶ φύσεως, ἄξιον ἀκοῦσαι τὴν αἰτίαν. ἡ πόλις οὐδέν ἐστιν ἕτερον πλὴν τὰ τῶν ἐνοικούντων σώματα. καὶ γὰρ ὁ περίβολος, καὶ τὰ κατασκευῆς ἐδάφη, καὶ νῆες, καὶ ἵπποι, καὶ ὅπλα, καὶ βέλη, διὰ τούτους ἐστὶ χρήσιμα. πᾶν γὰρ ὅτι ἂν εἴποις ἄνευ τῶν χρησομένων, μάταιον. ἤδη τοίνυν ὑπὸ σωζομένων μὲν τοῖς ὅπλοις ἐδεῖ συνεύχεσθαι, σκοπεῖ τι γῆς, δεῖ πλεῖν, δεῖ πεζῇ παρατάττεσθαι, πρεσβεύειν, ἀρκεῖσθαι, ἐνδεικνύναι τοὺς ὀφείλοντας, εἰσάγειν τοὺς ἀδικοῦντας, ψηφίσματα γράφειν, νόμους τιθέναι. πάντα δὲ ταῦτ' ἐστὶν ἀνθρώπων ἔργα. τὸ δὲ μέγιστον, πολυανθρωπία φοβερὰ μὲν τοῖς ἐναντίοις, τοὐναντίον δὲ λίαν εὐκαταφρόνητον. ἑώρων τοίνυν οἱ ταῦτα ἐξ ἀρχῆς τὰ νόμιμα διελόντες, ὡς εἰ μὴ πικρῶς κολάσωσι τοὺς παρ' ἀλλήλων φόνους, φθήσονται τοὺς πολεμίους οἱ πολῖται, σφᾶς αὐτοὺς ἀναλώσαντες. διόπερ τὸν ἐγκαλεῖν τι τῷ πλησίον ἔχοντα, πρὸς τὸ δικαστήριον ὁρᾶν κελεύουσι, καὶ δείξαντα ὡς ἠδίκησεν, εἰσπράττεσθαι νομίμως τὴν δίκην, ἀλλ' οὐκ αὐτὸν ὡς βούλεται τιμωρίαν λαμβάνειν. εἰ γὰρ ὁ μὲν ἀγανακτήσας ὑπὲρ τοῦ τυχόν-

τῷ ἀποκτείνει τὸν λυπήσαντα. πάλιν δὲ οἱ τούτῳ προσήκοντες τὸν ἀνῃρηκότα, ἐκείνους δὲ ἕτεροι, τί πέρας ἔσαι τῆς τοιαύτης ὁδοῦ; τοῖς μὲν γὰρ καλῶς οὕτω καὶ σφόδρα εὐσεβῶς κειμένοις. ὑμεῖς μὲν καλῶς ποιοῦντες πείθεσθε. μόνος δὲ οὗτος ἐξ ἁπάντων ἠναντίωται, καὶ νομίσας ὡς ἀληθῶς εἶναι ὕθλον καὶ γράμματα κενὰ, τὴν αὐτοῦ δεξιὰν κυριωτέραν τοῦ θεσμοῦ πεποίηται. σχῆμα μὲν ἐπιεικὲς προβαλλόμενος, γνώμῃ δὲ πονηρᾷ χρησάμενος, καὶ τοῖς φαινομένοις ἐναντίαν τὴν προαίρεσιν κεκτημένος. ἐν μέσῳ μὲν πρᾶος, ἐν ταῖς ἐρημίαις δὲ ἀπηνής. λόγῳ μὲν φιλάνθρωπος, ἔργῳ δὲ ὠμότατος. ἔνδον μὲν τῆς ἀγορᾶς μέτριος, ἔξω δὲ τειχῶν θηριώδης. καταλαβὼν γὰρ τόπον ὑψηλόν τε καὶ ἀπόκρυφον, τοὺς μὲν προβουλομένους † ὠθεῖ πόῤῥωθεν, τοὺς δὲ ἀνῃρημένους ἀφανίζει, τὴν νύκτα λαβὼν εἰς τὸ τόλμημα συνεργόν. ἡράκλεις· οἵων δραμάτων ἐπλήρωσε τὴν ὁδόν. ἐπείγετό τις εἰς δῆμον ἐλθεῖν, καὶ ἀπώλλυτο· ἀνέστρεφεν εἰς ἄστυ, καὶ διεφθείρετο· μετῄει δέ τις οἰκέτην ἀποδράντα, καὶ διεσφάττετο. ῥᾴδιον δὲ τοῦ παρεσκευασμένῳ τὸν ἀφύλακτον κτεῖναι. τοῦ δὲ πεπτωκότι σωτηρίας οὐκ ἦν πόρος, ὁ δὲ τοὺς ἀνθρωπίνους λογισ-

ἀθροῖ

μους

μοὺς ἐκβαλὼν ὤθει τὸ ξίφος ἀφειδῶς, ἐγκαλεῖν μὲν οὐδὲν ἔχων, ὅπως δὲ τῶν χρημάτων ἀποστερήσας ἰσχυρὸν κωλύῃ τὸν ἔλεγχον. καὶ οὔτε τὴν νύκτα ᾐσχύνετο, ἣν ἐμίανε τοῖς φόνοις, οὔτε τὸν ἥλιον προσβαλεῖν μέλλοντα τὴν ἀκτῖνα τοῖς σώμασιν, οὔτε τὴν γῆν αὐτὴν δεξαμένην τοὺς νεκρούς. ὢ τῆς ἀπονοίας. οὐκ εἰσῆλθέ σε τότε τῶν ἁπάντων οὐδέν; οὐ σχῆμα πολιτείας, ἧς ἐκοινώνεις τοῖς ἀνῃρημένοις; οὐκ ἐκκλησίας, ἣν μετ' αὐτῶν ἐπλήρωσας; οὐ βουλῆς; οὐ δικαστηρίων; οὐχ ἱερῶν; οὐ τελετῶν; οὐκ ἔπαυε τὴν ὁρμὴν ἄνθρωπος, τὴν αὐτὴν φωνὴν ἀφιείς; οὐκ ἔκλασεν ὁμοιότης σώματος; ἀλλ' ἱκετεύοντας ἔπαιες, καὶ δεομένους ἀπέσφαττες, καὶ προκυλινδουμένους κατέκοπτες. οὗτος μὲν οὖν ἐν τοῖς ἑτέρων θανάτοις ἐτρύφα. πολλὴν δὲ ἡμῖν ἀλγεῖν· ἀνεμνήσθητε γὰρ πρὸς τὴν ἀκοήν, οἷς ἐχρώμεθα δακρύοις. ἤγομεν ἑορτήν, καὶ παραχρῆμά τις ἤγγελλε φόνον. τὸ τερπνὸν τῶν ὁρωμένων ὑπὸ τῆς φήμης διεφθείρετο. διελύομεν ἐκκλησίας, καὶ πάλιν ἕτερος φόνος καὶ συνεχὴς οἰμωγὴ κατὰ τὴν πόλιν, παίδων ὀδυρομένων, γυναικῶν θρηνουσῶν, μετεχόντων τῆς λύπης τῶν οἰκείων, διαβαίνοντος ἐφ' ἅπαν τὸ γένος τοῦ κακοῦ. δεινότατον

δὲ τῆς συμφορᾶς, τὸ μηδὲ τῶν πιπτόντων τοὺς πολλοὺς ὑπάρχειν ἀνελέσθαι. τοῦ γὰρ μέλλοντος ὁ φόβος, εἴσω πυλῶν καθεῖργεν ἅπαντας, καὶ πολλὰ πραχθῆναι δέον ἔλιπε, προδήλου τῆς τελευτῆς οὔσης, πρὸ τῶν τειχῶν εἴ τις φανείη. τούτων δὲ γιγνομένων, καὶ τῶν μὲν ἀπολλυμένων, τοῦ δὲ τούτων αἰτίου λανθάνοντος, ἐπράττετο μὲν ὃ μόνον ἐξῆν ἐν τοῖς τοιούτοις. ηὐχόμεθα τὸν τούτων αἴτιον ὑπὸ χεῖρα λαβεῖν. ὡς εἰ τοῦτο γένοιτο, προσληψόμενοι τὸν δήμιον. τί οὖν; ἐπειδὴ τὰ παρὰ θεῶν ἠκολούθησε, καὶ πέφηνεν ὁ τέως ἀγνοούμενος, καὶ νῦν ἐφ' ἡμῖν ὁ καθ' ἡμῶν ἀνδρεῖος, καὶ νῦν ὑπὸ γουμένοις ὁ καταγελῶν τῶν νόμων, οὐκ ἀγανακτήσετε διότι καὶ τρὶς ἀποθανὼν, εἴπερ οἷόν τε, οὐκ ἀρκοῦσαν ἀποδώσει τὴν δίκην. τὸ δὲ πάντων δεινότατον, ὅτι τοιαῦτα ποιῶν ἐπ' ἐρημίας, ἰὼν ἡμῖν ἀνεμίγνυτο, καὶ τῶν αὐτοῦ μιασμάτων κοινωνοὺς ἐποιεῖτο. ἦ που καὶ ἔλαχε μεθ' ὑμῶν πολλάκις, καὶ περὶ φόνου ψῆφον ἐξήνεγκεν. ἦ που καὶ ταῖς νουμηνίαις μεθ' ὑμῶν προσῆλθε τοῖς ἱεροῖς, καὶ ταῖς χερσὶν, αἷς ἔδρασε τὸν φόνον, συνεφήψατο τῶν ἱερῶν θυσιῶν. παροξύνθητε τοίνυν ὑπὲρ ἀγορᾶς, ὑπὲρ θυσιῶν, ὑπὲρ βωμῶν, ὑπὲρ ἀνακτόρων, ὑπὲρ τῆς πό-

λεως ἀδελφούς. ἅπαντα ὅτος ἔχραινεν ἐν δίκαις τρίβων. λάβετε δὲ ἐν λογισμῷ πάνθ' ὅσα κατὰ ἀνθρώπους τολμᾶται, καὶ παράθετε τῷ κρινομένῳ νῦν ἕκαστον τῶν ἀδικημάτων. εὑρήσετε γὰρ τῶν πάνυ δεινῶν νομιζομένων εἶναι τοῦτο χαλεπώτατον. εἰ γάρ τις ὑμᾶς ἔροιτο, τί μάλιστα μισεῖτε; τὰς μοιχείας εἴποιτ' ἂν, καὶ τὰς ἱεροσυλίας, καὶ ὅσα περὶ τοὺς κειμένους ἁμαρτάνεται. πρὸς δὲ τὸ παρὸν νῦν ἐκεῖνα μικρὰ φαίνεται. κάλλους τις ἡττηθεὶς, ἀδικεῖ μὲν, ἀλλ' ἔχει παραίτησιν· ἐβιάσθη γὰρ ὑπὸ τοῦ θεοῦ, καὶ πρὸς τὸν ἔρωτα δυναστείαν ἀνταίρειν οὐκ εὔπορον. ἔπειτα τῇ γυναικὶ κατέλειπται διορθῶσαι τὸν τρόπον. πολλαὶ γὰρ ὑπαχθεῖσαι τὴν πρώτην, εἶτα πρὸς τὰ βελτίω μετέστησαν. ὅμως δ' ἐπ' ἐκείνων, ἀκόλαστος μὲν ἡ γνώμη· πρὸς δὲ τὸ θηριῶδες οὐκ ἐκβαίνει. τούτου δὲ τί καὶ γένοιτ' ἂν εἰς συγχώρησιν; τίς δαίμων ἐπαναγκάσας, τίς εὐπρόσωπος αἰτία; καίγαρ τοι τοῖς μὲν εἰς ταὐτὸν ἐλθεῖν οὐ κωλύουσιν οἱ νόμοι, τὴν δὲ πρὸς τούτους κοινωνίαν ἐν ἀδικήμασι κρίνουσιν. ἔστι τοίνυν ὁ μὲν ὥρας σωμάτων ἥττων γεγενημένος, οὔπω δῆλον εἰ καὶ φόνον ἂν τολμήσειεν. ὁ δὲ φόνον τετολμηκὼς, οὐδ' ἐκεῖνο ἂν κατοκνήσειε. καὶ

μὴν ὁ μὲν γὰρ γυναικὸς ἀποστερῶν τὸν συνοικοῦντα, τὸ γύναιον οὐ τοῦ ζῆν ἀποστερεῖται. ὁ δὲ τὴν γυναῖκα τοῦ συνοικοῦντος ἀποστερήσας, κἀκείνην αὐτὴν ἀφείλατο τοῦ περιεῖναι. δεινὸν ὁ τυμβωρύχος· ἀλλ' οὐχ οὕτως ἀνδροφόνος. ὁ μὲν γὰρ τεθνεὼς παροινούμενος, ἔξω γὰρ λύπης καθέστηκεν, ἐπεὶ καὶ τῆς αἰσθήσεως τῶν γιγνομένων ἔξω. τῷ δὲ δεχομένῳ τὴν πληγὴν, οὐκ ἔστιν ἀγνοεῖν ἃ πάσχει. ὅσῳ δὴ τοῖς πάσχουσι τοῦτ' ἐκείνου μᾶλλον ἀνιαρὸν, τοσούτῳ μιαρώτερος ὁ τοῦτο δρῶν τοῦ τολμῶντος ἐκεῖνο. μᾶλλον δὲ καὶ τὰ τῶν τυμβωρύχων ὁ κτεινόμενος ἐν αὐτῷ τῷ φόνῳ συνείληφεν. ἀποσφάττων γὰρ, προσαφαιρεῖται τὰ ὄντα, τοῦτο δὲ ἦν ἀποστερῆσαι ταφῆς. εἰ δὲ τἀκριβὲς εἰπεῖν, ἀνοσιώτερος τῶν τυμβωρύχων, εἰς αὐτὴν τὴν τῶν κειμένων ὕβριν. οἱ μὲν γὰρ οὐ κωλύουσι τῶν νομιζομένων τυχεῖν, ἀλλὰ τυχόντας τινὰς ἐκδύουσιν. οἱ δὲ,

τοσοῦτον ἀνδροφόνου πραότερος. ἀλλὰ νὴ Δία τὸ τῶν ἱεροσύλων ἁμάρτημα μεῖζον· τοῖς γὰρ τῶν θεῶν ἀναθήμασι προσάγουσι τὰς χεῖρας. ἄνθρωπος δὲ οὐ θεῶν κτῆμα πολὺ τιμιώτερον τῶν φιαλῶν; αὗται δὲ αἱ φιάλαι, τίνων ἀναθέντων ὑπάρχουσιν; ἢ οὐκ ἀνθρώπων;

θρώπων;

θρώπων; θυσίαι δὲ πόθεν, καὶ παιᾶνες, καὶ πρόσοδοι, βωμοὶ δὲ καὶ νεὼ καὶ τεμένη θεῶν, αὐτὰ δὲ τὰ ἀγάλματα, τίνων δημιουργήματα; μὴ τοίνυν κεκλείσθω † πονηρὸς τῶν ἐκεῖνα σεσυληκότων, ὁ φύτους διαφθείρας, παρ᾽ ὧν ἐκεῖνα γεγένηται. φείδετε τυραννίδος καὶ τοὔνομα νοῦν ἔχοντες, ὡς ἡγοῦμαι. τί ποτ᾽ οὖν τῶν ἐκείνης ἔργων ὑμῖν ἐμποιεῖ τὸν φόβον. ἆρα γε δημεύσεις καὶ φυγαὶ καὶ τὸ δεδέσθαι τινὰς οὐ δικαίως, οὔ. ἀλλὰ τὸ κώνειον τινὰς τῶν πολιτῶν ἀναρπάζειν. ἐνθυμεῖσθε γὰρ, ὅτι τοὺς μὲν πεφευγότας, ἔνεστι κατελθεῖν. καὶ τοὺς τὴν οὐσίαν ἀφαιρεθέντας, ἀπολαβεῖν αὖθις καὶ κομίσασθαι. θάνατον δὲ οὐκ ἔστιν ἰάσασθαι. ὃ τοίνυν τῶν ἐν τυραννίδι κεφάλαιον, οὗτος ἐν δημοκρατίᾳ τετέλεκε, καὶ τὸ φοβερώτατον ἐκείνῃ ποιοῦν, ὑπὸ τούτου πέπρακται ὑπὲρ ξίφει τὰ κωνείου πληρώσαντος· ὅσπερ δὴ τρόπος τελευτῆς ἀλγεινότατος. εἶτα ἂν μὲν μοιχὸν κρίνοιτε, δεῖ χαλεπαίνειν, καὶ κατὰ τοῦ τυμβωρύχου τὴν ὀργὴν αἴρειν μεγάλην. κἂν διασπάσησθε, μικρὰν οἴεσθε προσλαβεῖν τὴν δίκην. νῦν δὲ κάθησθε τῶν ἡμετέρων δεόμενοι λόγων, παρ᾽ οἷς ὑβριστὴς μισεῖται; περὶ οἷς κλέπτης κολάζεται; καὶ τί κωλύσει τὴν

† ἧττον [illegible]

σει τὴν πόλιν οἰχήσεσθαι τῶν εἰς ἀλλήλους φό-
νων λαβόντων ἄδειαν; μᾶλλον δέ, πῶς χαλε-
πανεῖτε τοῖς ταῦτα κακουργοῦσιν, ὅταν τοῖς
αὐτοῖς πράως ἔχητε; πρότερον μὲν οὖν ἡ τῶν
ἀνθρώπων φύσις πολλοῖς καὶ μεγάλοις θη-
ρίοις διεστῶσα, μάλιστα τῷ μὴ κτείνειν ἀλλή-
λους διέφερεν, οὗτος δὲ συγχεῖ καὶ συντα-
ράττει τοὺς ἄνωθεν καθεστῶτας νόμους. τί λέγω
συνταράττει; τῶν θηρίων αὐτῶν ἀγριώτερος
πέφηνε. τὰ μὲν γὰρ τὰ πολλὰ φείδεσθαι τῶν
ὁμοφύλων φασὶ καὶ πρὸς τοὺς ἐπιόντας ἀλλή-
λοις ἀμύνειν. ὁ δὲ ἄνθρωπος ὤν, ἀνθρώπους ὥ-
σπερ τι τῶν ἄλλων θηρίων μετακεχείρισται. νῦν
μὲν οὖν εἴληπται τὸ δεινότατον εἰργασμένος. ἥ-
κειν δέ μοι δοκεῖ πρὸς τοῦτο ἐκ τῶν ἐλαττόνων πε-
πορευμένος. πολλὰ κεκλοφὼς ἔλαθεν, οὐκ ὀλί-
γους τοίχους διώρυξεν, ἐπεβούλευσε γάμοις,
βεβίασται, τὰ μὴ προσήκοντα ῥᾳδίως ἥρπασε·
τῷ δὲ ἐφ' ἑκάστῳ μὴ διδόναι δίκην, ἐπαιδεύ-
θη μὲν ἀποκνεῖν μηδαμῶς. γέγονε δὲ ἡμῖν αὐ-
δροφόνος, ἐν τοῖς ἄλλοις οὐ κεκολασμένος. πό-
θεν οὕτω τεκμαιρόμενος λέγω; φύσει τῶν κα-
κούργων ἕκαστος, ἀπὸ τῶν οὐ σφόδρα δεινῶν,
ἄρχεται τῆς πονηρίας. κἆτα πεῖραν αὐτοῦ λαμβά-
νων ἐν τοῖς πρώτοις, χωρεῖ πρὸς τὰ δεύτερα.

κἀκεῖ

κἀκεῖθεν τὰ χαλεπώτατα μέτεισι, καὶ πλείστων ἐπ' αὐτὸ βαδίζει τῶν ἀτυχημάτων τὸ κεφάλαιον. ἐπεὶ καὶ τὴν καλοκαγαθίαν κατὰ τὴν τῶν τρόπων ἀρχὴν οὕτως ἴσμεν τελουμένην. οὐδεὶς εὐθὺς ἐξ ἀρχῆς ἄκρος, ἀλλὰ κατὰ βραχὺ τοιοῦτος γίνεται. νῦν οὖν εἴσηκται μὲν αὐτὸς ἐπὶ φόνῳ. πολλῶν δὲ ὀφείλει δίκην, ὃς οὐκ ἠθέλησεν εὐπορεῖν ἀφ' ὧν βέλτιον, οὐδὲ τὴν αὐτὴν ἦλθεν ὁδὸν τοῖς ἄλλοις ἡμῖν. διὰ τί γάρ, ὦ κακὴ κεφαλή, τὴν γεωργίαν ἀπεστράφης; διὰ τί τὴν κατὰ θάλατταν ἐμπορίαν πέφευγας; πόνου μὲν δεῖ πρὸς ἐκεῖνα τὰ κέρδη, κερδαίνειν δέ ἐστιν ἄνευ μέμψεως. οὐδέτερον βούλει τούτων; ἐπ' ἀγορᾶς ἐργάζου, μεταχείριζε τέχνην τοῦ χρησίμου τροφήν. ἀλλ' ἀνδρεῖος εἶ, καὶ γέμεις θυμοῦ, γενοῦ μισθοφόρος, ἐπ' ἀργυρείῳ παρατάττου. ἀλλ' οἶμαι τοῦτο μὲν ἱδρῶτος ᾔδει προσδεές. ἐφ' ἃ δὲ νῦν τέτραπται, πλοῦτον ἔχειν ἀθρόον πραγματείας ἄμοιρον. ὑμεῖς οὖν τὸν σκοπήσαντα μόνον ὅπως λήψεται, τὸ δ' εἰ καλῶς ἢ μή, τοῦτο οὐδὲ ζητήσαντα, ἀφήσετε λαβόντες; διὰ τί; ὅτι νὴ Δία δακρύσει, καὶ δείξει τοὺς παῖδας, καὶ δεήσεται μὴ τούτους ὀρφανοὺς καταστῆσαι; τοῦτο γὰρ οὖν λοιπόν, ὃ τοῖς ἀτυχοῦσιν ὀφείλεται, οὐ τοῖς πεπονηρευμένοις δοθῆναι, πολὺ δεινότερον, ὦ δυσσεβέ-

ςατε

ἔστι προελθεῖν τὰ παρὰ τὴν ἀξίαν κακῶς, ἢ δικαίως κολάζεσθαι. τὸ μὲν γάρ ἐστι δαίμονι δυσκόλῳ, τὸ δὲ προαιρέσει δεινῇ κεχρημένου. μὴ τοίνυν εἰς τοὺς δεσπότας τελῶν, τὸν ἄλλοις ἀποκείμενον ἔλεον ἅρπαζε. πολλὰς ὑπερεῖδες ἱκετείας τῶν ὑπὸ σοῦ κατενεχθέντων. μὴ τοίνυν ὧν οὐ μετέδωκας, ταῦτα ἔχειν τῶν ἑτέρων ἀξίου. πολλὰς δεήσεις διέπτυσας τῶν δεχομένων τὰς πληγάς· μὴ τοίνυν ζήτει φιλανθρωπίαν, ἣν ἀνῄρηκας. δεινὰ πείσεσθαι τοὺς σοὺς παῖδας ἡγῇ, σοῦ τεθνηκότος; τοὺς δὲ ἐκείνων, οὓς ἀπέκτεινας οὐ δεινὰ πεπονθέναι; καί τοι τοὺς σοὺς μὲν παραμυθήσεται τὸ τῷ νόμῳ τὸν πατέρα τεθνηκέναι, τοῖς δὲ οὐδέν ἐστιν ὃ κουφίσει τὴν συμφοράν. ὅλως δὲ εἰ πλεῖον ἰσχύσει τοῦ προσήκοντος τὰ δάκρυα, κεκλείσθω τὰ δικαστήρια. τί γὰρ δεῖ τοὺς ἀδικοῦντας ἐλέγχειν, εἰ τοῖς ἁλοῦσιν ἀπὸ τῶν θρήνων σωτηρία. τοιοῦτον ἐβουλόμην εἶναι τοῦτον περὶ τῆς ἐρημίας, ὁποῖος νῦν εἶναι πλάττεται. καὶ τὴν μέχρι τοῦ σχήματος ὑπόκρισιν περὶ τῶν ἔργων δεικνύναι, καὶ μὴ θρασὺν μὲν ἐν τῷ ὄρει, ἐν δὲ τῷ δίκην ὑποχεῖν ταπεινὸν εἶναι. γίνεσθε δὴ τῷ λογισμῷ περὶ τῶν φονικῶν, κατανοήσατε τοῦτον μὲν ἐφεστηκότα μετὰ τοῦ ξίφους, τὸν δὲ εἰλημμένον

αὐτίκα

ἀντιβολοῦντα, θεῶν ἀναμιμνήσκοντα, φύσεως, νόμων, δικαστηρίων. τοῦτον δὲ ταῦτα πάντα λῆρον ἡγούμενον, καὶ ἀποσφάττοντα καὶ διαφθείροντα, καὶ μὴ ἐπικαμπτόμενον πρὸς τὸν ὀδυρμόν.

ΚΟΙΝΟΣ ΤΟΠΟΣ ΚΑτὰ προδότου.



ΤΟ τοῦτον ἐφ' ἡμῖν εἶναι τήμερον, ἀλλὰ μὴ τοὺς πολεμίους διεσπότας, παρὰ τὴν τῶν θεῶν εὔνοιαν ὑπῆρξε. δεῖ δὲ ὑμᾶς εἴπερ εὖ φρονεῖτε, τοῖς μὲν ὧν ἐκώλυσαν εἰδέναι χάριν, τὸν δὲ ὧν ἐπεχείρησεν ἀπαιτῆσαι δίκην. ὡς ἔστι τῶν ἀτοποτάτων, τὴν ἡμετέραν δυστυχίαν τούτῳ γενέσθαι σωτηρίαν. οἱ μὲν οὖν εὖ πεποιηκότες τὴν πόλιν, ἔχουσι τὰς ἀμοιβάς, οἱ μὲν στεφάνους, οἱ δὲ εἰκόνας, οἱ δὲ ἄλλο τι τῶν εἰς τιμὴν τοῖς εὐεργέταις εὑρημένων. ἄξιον δὲ ὑμᾶς μὴ μόνον φαίνεσθαι θαυμάζοντας τὴν ἀρετήν, ἀλλὰ καὶ μισοῦντας τὴν κακίαν. ὡς ἀμφοτέρωθεν ἔστι τὴν πόλιν σώζεσθαι, τῶν μὲν τιμαῖς παρακαλουμένων, τῶν δὲ ταῖς τιμωρίαις παιδευομένων μηδὲν ἀδικεῖν. τοῖς μὲν οὖν πολεμίοις ἡ τούτου κρίσις συμφορά, καὶ τὰς ἐλπίδας, ἃς εἶχον ἐν τούτῳ νῦν ἀπολωλεκότες

εγόνουσιν. ὅς τις δὲ κρινόμενος τοὺς πολεμίους λυπεῖ, παρ' ἡμῖν οὗτος ἀπολωλεκέναι δίκαιος. οὐ γὰρ ἐστὶν εὔλογον, ὃν παρὰ τοῖς ἐχθροῖς ἐστὶν εὐδοκιμεῖν, τοῦτον καὶ παρ' ὑμῖν σωτηρίας τυγχάνειν. οἱ μὲν οὖν ἄλλοι πάντες ὑμεῖς τὰ δίκαια ποιεῖτε πρὸς τὴν πατρίδα, φέροντες αὐτῇ ταῦτα ἃ δυνατὸν ἑκάστῳ φέρειν αὐτῇ. ὁ δεῖνα ἀπέδωκε τριήρη, τάλαντον οὗτος, ἕτερος ἔθηκε νόμον συμφέροντα, ψήφισμα ἐκεῖνος ἔγραψε γενναῖον, οἱ μὲν ἐπρέσβευσαν γενναίως, οἱ δὲ τὰ δίκαια εἰσηγήσαντο. καλὰ μὲν οὖν καὶ ταῦτα. πολὺ δὲ τούτων ἀμείνους ἐκεῖνοι, οἱ τῶν κινδύνων καλούντων τὰ ὅπλα θέμενοι, δυοῖν θάτερον ἀξιοῦσιν, ἢ νικᾶν, ἢ πεσεῖν, τὴν περὶ εὐνοίας ἐπίδειξιν ἐν τῷ σώματι παρεχόμενοι. ταῦτα ὑμεῖς ποιοῦντες ἀκολουθεῖτε τοῖς νόμοις, οἳ πολλὴν ποιησάμενοι πρόνοιαν καὶ περὶ τῶν μειζόνων καὶ περὶ τῶν ἐλαττόνων μάλιστα περὶ ταῦτα σπουδάζουσιν, ἀφ' ὧν ἐστὶ φυλακὴ τῷ κοινῷ. καὶ τί δεῖ λέγειν τοὺς γεγραμμένους νόμους, ὧν ἐστὶν εἰπεῖν ἀνθρώπους νομοθέτην. ἡ φύσις αὐτὴ διαλέγεται πᾶσι πατρίδα ποιεῖσθαι μετὰ θεούς. καὶ τούτῳ τῷ νόμῳ καὶ τοὺς βαρβάρους ὁρῶμεν πειθομένους, οἳ τοῖς θηρίοις ἐοίκασι, καὶ τ' ἄλλα διεστηκό-

τες

τες τῶν ἑλλήνων μισοῦντι δικαίως. πολλὰς γὰρ ὀφείλουσιν ἄνθρωποι χάριτας ταῖς πατρίσι, τὸ φῦναι καὶ γενέσθαι, καὶ τὸ τὸν ἥλιον ἐπιδεῖν. ἔτι πρὸς τούτοις τροφῆς, παίδων, γάμων, παιδοποιίας, κτήσεως χρημάτων, δόξης ἀγαθῆς, βίου, σχήματος ὅσα ἂν εἴποις ἐνταῦθα. παρ' ἧς οὖν ἡμῖν ταῦτα, πῶς οὐχὶ καὶ τὰ περὶ ἡμῶν δίκαιον εἶναι. μηδεὶς γὰρ οἰέσθω πλείω τοῖς γονεῦσιν ὀφείλειν, ἢ τῇ πατρίδι αὐτοῦ, ἣ καὶ τὸ γῆρας ἤνεγκε. καὶ δὴ αὐτῆς εἰσιν ἡμῖν πατέρες. ἀλλ' οὐ τούτων τῶν πολλῶν καὶ καλῶν νόμων οὗτος ἀκήκοεν· ἀλλὰ πάντα ἀνελὼν, καὶ τὸ μηδενὸς ἄξια τολμήσας ὅσα διῆλθον, καὶ καταγνοὺς φλυαρίαν τούτου τοῦ θεσμοῦ, καὶ νομίσας ματαίαν εἶναι σπουδὴν τὸ ταῦτα τηρεῖν, καὶ πᾶσαν γῆν ταύτην ἡγησάμενος, μᾶλλον δὲ οὐ ταύτην, ἀλλὰ τὴν μὲν ἐχθρὰν φίλην, τὴν δὲ δικαίως φίλην ἐχθράν, ἀνέτρεψε καὶ συνέχεε τὰ πανταχοῦ πεπηγότα· τὴν εὔνοιαν ἐκείνοις νείμας, οὓς ἔδει μισεῖν· μισήσας δὲ τούτους, ὧν ἔδει κήδεσθαι. γενόμενος γὰρ περὶ ἡμῖν ὡς οὐκ ἔδει, καὶ τραφεὶς ὑπὸ τῶν τῆς οἰκείας καλῶν, καὶ εἰς ἄνδρας ἥκων, καὶ πιστευθεὶς, τὰς μὲν τῶν ἄλλων πολιτῶν γνώμας οὐκ ἐζήλωσεν. οὐδὲ τοῖς ἐπείγουσι τῶν καιρῶν παρέσχεν ἑαυτὸν χρήσι-

μον, πλαττόμενος δὲ εὔνοιαν τοῖς ῥήμασιν αὐτοῦ, κηλῶν καὶ παρακρουόμενος, καὶ διὰ τούτου γενόμενος ἀεί τινος κύριος, οἷον ὦ γῆ καὶ ἥλιε καὶ ἱερὰ καὶ τάφοι βούλευμα ἐβούλευσεν ἐφ' ἡμῖν· παρ' ἡμῖν ἦν, εἶδε δὲ ἑτέρωσε. μετὰ μὲν ἡμῶν συνέζη, μετὰ τῶν πολιτῶν ἔθυε, τοῖς δὲ πολεμίοις συνηύχετο. βουλῆς ἐκοινώνει, καὶ μετεῖχεν ἐκκλησίας, καὶ ψηφίσματα ἔγραφεν· οὐχ ὅπως τι γένηται τῶν ἡμετέρων βέλτιον, ἀλλ' ὅπως ἐκείνων τὰ ἡμέτερα γένοιτο. καὶ πρᾶγμα ἡνίκα τι περὶ ἡμῖν καὶ περὶ ἐκείνους ἔγνωσαι, πάντα τούτῳ φροντίζοντι καὶ πωλοῦντι. συνῆλθες λάθρα τοῖς πολεμίοις ὦ μιαρὰ κεφαλὴ, ἐκοινολόγησας λάθρα τοῖς κοινοῖς ἐχθροῖς, ἐδέξω λόγον κατὰ τῆς πατρίδος, ἐδέξω χρυσίον κατὰ τῆς συγγενείας, στρατηγὸς ὑπέμεινας γενέσθαι τῶν λυμαινομένων, ὑπέσχες τὴν χεῖρα πρὸς λήμματα, καὶ οὐκ ἔφριξας ἐνθυμηθεὶς ἐφ' ᾧ κερδανεῖς. ἀλλ' ἤγαγες εἰς τὴν πόλιν κατὰ τῆς πόλεως χρήματα, καὶ ᾤκεις ἣν ἐπώλεις. εἰπὲ τοὺς δικαστὰς τοὺς λόγους, οἳ πρὸς ἀλλήλους ὑμῖν ἐγένοντο· στῆθι μεθ' ἡμῶν, ἀφεὶς τοὺς πολίτας. στήσομαι. δέχου μισθὸν κατὰ τῆς πατρίδος. δέξομαι. μηδὲν ἡμᾶς τῶν ἐκεῖ λανθανέτω. πάντα εἴσεσθε. τούτοις ἴσως προστιθεὶς τὸ μηδὲν αὐτοῖς

δεήση πόνων καὶ πραγματείας, πρὸς τὸ καὶ τὴν πόλιν ἑλεῖν, ὡς τῆς προδοσίας μεῖζον ἰσχύσης τῶν ὅπλων. βλέψατε δὴ πρὸς τὴν πόλιν, γνωρίσατε τὸ κάλλος νεὼς, ἀγορᾶς, τὸν κοινὸν πλοῦτον, τὰ ὄντα ἑκάστοις, ὁπλίτας, ἱππέας, παῖδας, γυναῖκας, ἀφθονίαν, εὐσχημονίαν. ταῦτα πάντα οὗτος, ὥσπερ τι τῶν ἐξ ἀγορᾶς ἀπέδοτο. καὶ τὴν ἀναίρεσιν τῆς πόλεως πρόβολον ἐποιήσατο, καὶ πεπλουτηκὼς ἐκ τοσαύτης ἀσεβείας, εἰς ὑμᾶς βλέπει τοὺς πεπραγμένους. καὶ ὑμεῖς μέλλετε, καὶ λόγον ἀκούετε, τί τῶν δεινῶν καθ' ὧν εἰσι τιμωρίαι τῷ παρόντι παραπλήσιον ὁρῶντες; ποίαν εἰς θεοὺς ὕβριν, ποίαν εἰς οἰχομένους. ὁ μοιχὸς ἔρωτι πληγεὶς, ἔβλαψε μίαν οἰκίαν. δεινὸν μὲν, ἀλλ' ἑνὶ τὸ κακὸν ἵσταται. ὁ τὸν ἐχθρὸν ἀποσφάξας, ἐφεξῆς τὸ αὐτὸ δρᾷ. τῶν ἀναθημάτων ἥψατό τις· ἀλλὰ τὰ ἀγάλματα οὐ προσαφήρηται. περὶ νεκροὺς τις ἐπλημμέλησε, καὶ τάφους ἐκίνησεν, ἀλλ' ὅσον ἀπέχετο † πλείονα ἢ θεοῖς προσῆλθε. καὶ μὴν κείνων ἢ ἐκείνων ἕκαστος τοῦ μὲν ἀπέχετο, τοῦ δὲ οὐ καθαρεύει. ὁ μοιχὸς οὐ πάντως ἀνδροφόνος. ὁ μὴ τὴν χεῖρα καθαρὸς, οὐκ ἤδη καὶ ἐμοίχευσεν. ἐκ τῶν ἱερῶν ὁ πλουτῶν, οὐκ ἤδη τυμβωρύχος. οὗτος γέγονεν ἀπὸ τῶν τάφων εὐπορεῖν, ἀπέχετο

τῶν ἱερῶν. προδότην δὲ ὅταν εἴπω, πάντα τὰ ἀδικήματα λέγω. ἃ γὰρ ἐκεῖνοι διῄρηνται, ταῦτα οὗτος μόνος συνείληφεν. ἴστε γὰρ δήπου τοῦθ' ὅτι πόλεως ἁλούσης, γυναῖκες ὑβρίζονται, ἄνδρες ἀποσφάττονται, τάφοι παροινοῦνται, ἱερὰ οὐ συλᾶται μόνον, ἀλλὰ καὶ κατασκάπτεται. διὰ τί οὖν πάντας ἀδικεῖν ἐκείνους ὑπερβέβληκε, καὶ διὰ καθέκαστον πλείω. παρὰ μὲν γὰρ ἐκείνων εἰς μέρος ἡ βλάβη. τῇ δὲ ἐκ τῆς προδοσίας, τὸ κοινὸν ζημιοῦται. μὴ γὰρ ἐκεῖνο σκοπῶμεν, ὡς οἱ πολέμιοι τοῦτ' οὐκ ἔδρων, ἀλλ' ὡς ἐκείνοις ταῦτα ἐξεῖναι ὑπῆρξε, παρὰ τούτου. δεῖ δὲ τὰ ἀδικήματα νομίζειν οὐ τῶν ταῖς χερσὶν ἐργαζομένων μᾶλλον, ἢ τῶν τὸ δυνηθῆναι δεδωκότων. ὁ δὲ νῦν ἐκείνοις τὰ ἡμέτερα διδοὺς, οὗτος ἂν εἴη ὁ πάντα ποιῶν. ἵνα ὑπ' ἐκείνων πάσχειν ἔδει. εἰ δέ τις ὑμᾶς ἔροιτο, τί δεινὸν νομίζετε; πάντες εὖ οἶδ' ὅτι φήσετε, τὸ συγχυθῆναι τοὺς νόμους, τὸ γενέσθαι τύραννον. ἔστι δὲ τοσούτῳ χαλεπώτερον προδοσία τυραννίδος, ὅσῳ τῇ μὲν τὸ τέλος μηκέτι εἶναι τὴν πόλιν. ἡ δὲ τὰ ἄλλα κινοῦσα, τῆς πόλεως κήδεται. δῆλον γάρ ἐστι τῷ βουλομένῳ τυραννεῖν, ὅτι δεῖ σώζεσθαι τὴν πόλιν, εἴ γε κἀκείνῳ δεῖ τὴν ἐξουσίαν σώσασθαι. τῷ προδότῃ δὲ ὁ διδοὺς,

ἐπ' αὐτῷ τῷ τῆς πόλεως ἐδάφει δίδωσι. τί μάλιστα πόλιν ἄρδην ἀπόλλυσι; πολέμιοι κεκρατηκότες οἶδ' ὅτι φήσετ' ἄν. ἀλλ' οὑτοσὶ καὶ τῶν τοιούτων πολεμίων, μᾶλλον ἄξιος μισεῖσθαι. διά; ὅτι τοῖς μὲν νόμῳ πολεμούντων ταῦτα πράττεται, καὶ τὸ ἔργον ἀκολουθεῖ προσηγορίᾳ. πολέμιοι γὰρ τὰ πολεμίων ἐργάζονται. ὁ δὲ τὴν αὑτοῦ συναναιρῶν ἐκείνοις ἐν τῷ διαφθείρειν, ἣν σώζειν ἔδει, τῶν πολεμίων πικρότερος. ἔτι τοίνυν τούτους μὲν ἔδει φυλάξασθαι, κηρύττουσι γὰρ τὴν ἔχθραν. ὁ δὲ σὺν τούτοις, οὓς ἀπόλλυσι λανθάνων κακῶς ποιεῖ. εἰ δὲ τοὺς πολεμίους ἥδιστα ἂν ἀποκτείνομεν, πῶς οὐχὶ μικρὰ τούτῳ ζημία θάνατος; ὥστε ἐκεῖνο νικᾷ. ἐγὼ πολλάκις τινὰς εἶδον φεύγοντας κλοπῆς, καὶ ὑμᾶς ὀργιζομένους, εἰκότως. δεῖ γὰρ πρὸς μηδὲν ἀδίκημα πρᾴους εἶναι. εἶτα τοὺς μὲν πέντε δραχμὰς ἁλόντας κολάζετε, προδότην δὲ ἐν χερσὶν ἔχοντες οὐ διασπάσεσθε; ὃς νῦν μὲν ἐπὶ προδοσίᾳ κρίνεται, πάντα δὲ ἐκεῖνα διεξελήλυθε, κλοπάς, μοιχείας, ἱεροσυλίας, ἐν οἷς μοι δοκεῖ παιδευθεὶς μηδὲν φοβεῖσθαι, καὶ τελευτῶν εἰς τόδ' ἥκειν. οἱ γὰρ τὰ μέγιστα ἀδικοῦντες, οἷα νῦν οὗτος, δῆλον ποιοῦσιν, ὡς ἀπ' ἐλαττόνων ἐνταῦθα προὔβησαν,

τὸ μὲν λαβεῖν, οὐ δόντος δίκην· τὸ δὲ μὴ δοῦναι, μειζόνων ἐπιθυμήσαντες. ἦν σοι πλουτεῖν, ὦ μιαρὸν θηρίον, καὶ μὴ κρίνεσθαι. ὁρᾷς τὴν γῆν; γεώργησον. ὁρᾷς τὴν θάλατταν; πλεῦσον. ἀλλὰ φεύγεις ἐκεῖνα, καὶ ζῆν ἐπιθυμεῖς ἐν ἄστει; εἰσὶν ἐργασίαι κἀνταῦθα πολλαί, δι' ὧν ἕκαστος τῶν μετρίων πολιτῶν, αὐτός τε εὐπορεῖ, καὶ τῇ πόλει λειτουργεῖ. ἀλλ' οἶμαι μόνον οἶδας, ὃ λήψει· τὸ δὲ οὐκ οἶδας, ὡς οὐχ ὅθεν ἄξιον. ἀλλὰ τὸ μὲν κέρδος ἐθαύμασας, τοῦ δὲ κέρδους τὴν ἀφορμὴν οὐκ ἐζήτησας. εἶτα τὸ τῶν οὐδὲν ἐχόντων δίκαιον ποιήσει. δακρύσεται, καὶ περὶ τοῦ δεῖν ἐλεεῖν πολλὰ διαλέξεται. ἐγὼ δὲ τί φημι; εἰ μὲν ἀτυχεῖς ἄνθρωπε, σῶζου· δίκαιον γάρ. εἰ δὲ πεπονήρευσαι, μὴ τὰ μὲν τῶν ἀδικούντων ἐπιτέλει, τὰ δὲ τῶν ἠτυχηκότων ἐπιζήτει. δημοκρατία γὰρ τὸ μὲν τηρεῖ τοῖς ἐπταικόσι, τὸ δὲ χρῆται πρὸς τοὺς ἐργαζομένους οἷα σύ. σὲ δὲ εἰ σώσουσι, παρὰ τὸ δίκαιον ἄρτι λήψονται; τοῦ τὰ ἐλάττω κακουργοῦντος; καὶ πῶς; ἀλλὰ τοῦ τὰ αὐτὰ σοὶ τολμῶντος; καὶ πῶς ἂν προδότην νῦν μὲν ἐλεεῖν, νῦν δὲ μισεῖν; οὐκοῦν ἀνάγκη μάτην συγγεγράφθαι τοὺς νόμους, μάτην ἑστάναι τὰ δικαστήρια. τὸ κολάζειν γὰρ οὓς ἄξιον οὐκ

ὄντος ἐν τῇ πόλει, τί δεῖ τούτων; οὐ μόνον οὗτος κρίνεται σήμερον, ἀλλὰ καὶ νομοθετεῖται τῇ ψήφῳ, πότερον δεῖ πάντας τὰ τούτου ζηλοῦν, ἢ δικαίους εἶναι περὶ τὴν πόλιν. ἂν μὲν γὰρ οὗτος ἀφεθῇ, προδόται πάντες. ἂν δὲ δῷ δίκην, οὐδεὶς ἐλέου μεμνήσεται, πόλιν ὅλην οὐκ ἐλεήσας. ἐλεεῖσθαι ἀξιοῖς παρὰ τούτων, οἷ τὸ σὸν μέρος οὐκ εἰσί; πολλὰ ἂν ἐδάκρυσαν αἱ ἡμέτεραι γυναῖκες, πολλὰ ἂν οἱ παῖδες, οὓς οὗτος οὐκ ἠλέησε. μεταστήσατέ μοι τὸν λογισμὸν ἀπὸ τῶν τούτου δακρύων, ἐπ᾽ ἐκείνην τὴν τύχην, ἣ κατεῖχεν ἂν τὴν πόλιν. ὁρᾶν οἴεσθε στρατιὰν προσβάλλουσαν, μηχανήματα προσιόντα, τείχη κατασκαπτόμενα, τάφους ἀναῤῥηγνυμένους, χρήματα διαρπαζόμενα, γυναῖκας ἑλκομένας, παῖδας ἀγομένους, ἱερὰ συλώμενα, πάντα ἀπολλύμενα σιδήρῳ καὶ πυρί. γέγονε μὲν γὰρ τούτων οὐδὲν, οὐδὲ γένοιτο. νοῦν ἐχόντων ἂν εἴη τὸ μὲν εἰδέναι τοῖς βεβοηθηκόσι θεοῖς τὴν χάριν, τῷ δὲ τοῦτον ἔχειν ὀργὴν, ἣν εἴχετ᾽ ἂν ἁλισκόμενοι.

ΕΓΚΩΜΙΟΝ ΑΧΙΛ-λέως.



ΜΗΡΟΣ ἐραστὴν μὲν κατέστησεν ἀχιλλέως. οἶμαι δὲ καὶ πάντας, ὅσοι τῆς ἐκείνου μετέχουσι ποιήσεως. ἐρεῖν δὲ πάντα οὐκ ἂν δυναίμην· ἀλλ' ὅσα ἐπέρχεταί μοι τὸν ἥρω κοσμεῖν, ἔχοντα μὲν παρὰ τοῦ ποιητοῦ τὴν ἀξίαν, δίκαιον δὲ ὄντα καὶ τῆς ἐμῆς δυνάμεως ἀπολαῦσαι, κἂν ᾖ σμικρά. ὅτι μὲν δὴ πρόγονος αὐτῷ τῶν θεῶν ὁ κορυφαῖος, καὶ ὅτι τὸ τῶν αἰακιδῶν γένος κρεῖττον τῶν ἄλλων ἡμιθέων. περὶ μὲν ταῦτα τί δεῖ καὶ διατρίβειν, ὧν κοινωνοῦντες εὑρίσκονται πλείους; ἀλλ' ἦγε μητὴρ αὐτοῦ θεός, καὶ τροφὴ μυελοὶ λεόντων ἀντὶ γάλακτος· οἷς ἀμφοτέροις πολὺ διήνεγκεν. οὐ γὰρ τίτθη παραβαλοῦσα τὸ παιδίον μαστοῖς ἔτρεφεν, ἀλλ' ἣν ὁ χείρων ἤδει πρὸς ἀνδρίαν αὐτοῦ συμβαλλομένην, ταύτην ἐπενόησε τὴν κοινὴν ἀνθρώπων ἀφείς. οὗτος γὰρ ὁ κένταυρος, εἰς πάντας ἥρωας ἀπέθετο τὰ παιδεύματα· περὶ δὲ τὸν πηλέως καὶ θέτιδος, μᾶλλον ἐφιλοτιμήθη, πάσης παιδείας ἐμπιπλὰς αὐτῷ τὴν ψυχήν, τοῦτο μὲν μουσικῆς, τοῦτο δὲ ἰατρικῆς. ὥστε τῇ μὲν πραΰνειν τὸν θυμόν, τῇ δὲ ἀπελαύνειν

πελαύνειν τὰ νοσήματα. ἤσκει δὲ καὶ τὼ πόδε πρὸς τάχος, ἀναγκάζων αὐτὸν παραθεῖν. τάχυ μὴν πολεμικὰ, δεινότατον ἁπάντων ἀπειργάσατο· καὶ τὴν ῥώμην ἔτρεψεν αὐτοῦ πρὸς τὸν ἡρακλέους ζῆλον. ὥστε οὗτος πλείονα τὸν ἀγῶνα ἦγεν, ὧν ἀπὸ τῆς εἰρήνης ἡδέων ἐπεθύμουν ἕτεροι. διέδειξε τοῦτο καλῶς ὁ τρωϊκὸς πόλεμος, οὗ τοὺς μὲν ἄλλους κατασχεῖν ἐποίησε τὸ πρόσθεν ὀμωμοκέναι. ἔδει γὰρ ἢ τοῖς τρωσὶ πολεμεῖν, ἢ πολεμεῖσθαι παρὰ τῶν κρειττόνων, ὡς τῶν συνθηκῶν ἀμελουμένων. εἰ δέ τις μοι λέγει σκῦρον καὶ παρθενῶνα, καὶ σχῆμα γυναικεῖον, συκοφάντην ἔγωγε τοῦτον ἡγοῦμαι, καὶ κακοδαίμονα, καὶ ψευδολόγον. οὔτε γὰρ τῆς παρὰ πηλέως ἀρετῆς, οὔτε τῆς παρὰ χείρωνι παιδείας, οὔτε τῆς ἀχιλλέως φύσεως ταῦτα ἄξια. ἀλλ' εἰ δοκεῖ, δῶμεν καὶ κρυφθῆναι, καὶ πάλιν ἐκπηδῆσαι τοῦ παρθενῶνος. τάχα γὰρ αὖ καὶ τοῦτο μέρος τῆς εὐφημίας εἴη, εἰ τῇ τε μητρὶ φοβουμένῃ χαρίζεσθαι δεῖν ᾤηθη, καὶ τὴν φύσιν οὐ κατήσχυνεν, οἷς ὑπήκουσε τοῦ καλοῦντος. ἀλλ' ἐκεῖσε ἐπάνειμι, ὅτι τοῖς μὲν ἄλλοις οὐδὲ βουλομένοις ἐξῆν μὴ στρατεύειν. ἐνεβίαζον γὰρ αὐτοὺς εἰς τὰς ναῦς ὅρκοι, καὶ σπονδαί. ἀχιλλέα δὲ, ὅρκος μὲν οὐδείς, ὁ δὲ τῆς δόξης ἔρως ἀπήλ-

ζε. καὶ πρῶτα μὲν τῆς πλάνης ἀπήλλαξε τὸ στρατόπεδον. ἤδη μὲν γὰρ τὴν χώραν τῶν ἠδικηκότων οὐδείς. ὅποι δὲ τύχοι φερόμενοι προσέπιπτον, οἷς μὲν ἐνεκάλουν, τούτους εὑρεῖν μὴ δυνάμενοι· οὓς δὲ ἠτιῶντο, τούτους κακῶς ποιοῦντες. τὴν δέ γε μυσίαν τρωάδα νομίσαντες, ἐπέβαιντες ἐδῄουν. ὡς δὲ ἐξῆλθον οἱ μυσοὶ καὶ μάχη συνεστήκει, τιτρώσκεται μὲν ὁ τήλεφος. οἱ δὲ, γνόντες τὴν ἁμαρτίαν, ἀπέπλεον αἰσχυνόμενοι τοῖς πεπραγμένοις. τοῦ δὲ ἕλκους ἴασιν οὐ δεχομένου, χρῆται μὲν ὁ τρωθεὶς τῷ θεῷ. πέμπεται δὲ ὡς ἀχιλλέα μόνον, ἀκούσας ἰατρὸν ἔσεσθαι. καὶ ὁ μὲν ἰᾶτο, ὁ δὲ ἐδήλου τὴν γῆν τῶν πολεμίων. οὗτος γὰρ ὡμολόγητο μισθός. ὥστε οὐδὲν ἐκώλυε διαφυγεῖν τοὺς βαρβάρους τὴν δίκην, εἰ μὴ ἀχιλλέως τὸ δόρυ καὶ τὰ παρ᾽ ἐκείνου πρὸς Τήλεφον τὴν ἄγνοιαν ἔλυσεν. ἐπεὶ δὲ εὗρον τὴν τροίαν, κύκνος μὲν ὁ ποσειδῶνος, ἐν ᾧ πλείστας αὖ εἶχον οἱ τρῶες τὰς ἐλπίδας, εὐθὺς ἀπέθνησκεν ὑπ᾽ ἀχιλλέως. οἱ λοιποὶ δὲ δείσαντες, ἔφυγον. καὶ πόλιν τοῖς μὲν ἕλλησι τρυφᾶν, τοῖς δὲ ἐναντίοις κατακεκλεῖσθαι. κατείρξας γὰρ αὐτοὺς εἰς τὸ ἄστυ, καὶ παραδοὺς τοῖς ὁμοφύλοις τὴν πολιορκίαν, ἐπὶ τὰς ἐκεῖθεν πόλεις ὠφελούσας τοὺς πολεμίους ἐχώρει,

περικόπτων αὐτοὺς πανταχόθεν, καὶ καθιστὰς εἰς ἐρημίαν φίλων. ἔφερε δὲ τῶν στρατιωτῶν οὐδείς, ὁ νησιώτης, οὐκ ἠπειρώτης, ἀλλὰ τρεῖς περιέσυρε καὶ εἴκοσι πόλεις. τοσαύτην ἐρημίαν περὶ Ἴλιον εἰργάσατο. καὶ τὸ μέγιστον, οὐ χρημάτων ἔρως ἔπειθε κινδυνεύειν αὐτόν. οὔκουν αὐτὸς ἐγίνετο τῶν λαφύρων κύριος, ἀλλ' ἰδίους μὲν τοὺς κινδύνους, κοινὰ δὲ τὰ ἆθλα τῶν Ἑλλήνων ἐποίει. καὶ τὸν πλοῦτον τῶν ἀπολωλότων εἶχε τὸ κοινόν, καὶ διὰ ταύτης τῆς εὐπορίας οὐ κατέλυσαν τὸν πόλεμον αἰσχρῶς. τοῦ νοήματος δὲ ἐμπεσόντος, καὶ τῶν καταλόγων κενουμένων, ὁ μὲν ἄρχειν ἀξιῶν, αὐτὸς ὢν αἴτιος τῶν κακῶν, ἐπανόρθωσιν οὐκ ἐζήτει· ἀλλ' οὐδὲ ὁ δεινότατος Ὀδυσσεύς, οὐδ' ὁ σοφώτατος Νέστωρ οὐδὲν ἤλγησαν. ἀλλ' ὁρῶντες φθειρομένην τὴν στρατιάν, ἡσύχαζον. μόνος δὲ Ἀχιλλεύς, ἡσυχίαν τε οὐκ ἐποίει, καὶ μάντιν ἐκάλεσε, καὶ βοηθεῖν ὑπισχνεῖτο, καὶ παρεκάλει πρὸς τὸ θαρρεῖν. καὶ οὐ προαπέστη, πρὶν εὗρεν ἴασιν τοῖς κακοῖς. ἄξιος μὲν οὖν ἦν, στεφάνων καὶ ἀναῤῥήσεως ὑπὲρ τούτοις τυγχάνειν. διὰ δὲ τὴν τῶν εὖ παθόντων ἀγνωμοσύνην προὐπηλακίζετο· κύριος μὲν ὢν καταχεῖν καὶ τοὺς ἥκοντας ἀποσφάξαι, καὶ προσέτι γε τὸν ἀπεσταλκότα, πρᾴως δὲ τὸ

βρω

βρυσηΐδος ἀποστὰς, μὴ τὰ πάντα συγχέας, οὐ μὴν ἔμφυσιν ἦν τοῦ ναυμαχεῖν, ἀλλὰ τὴν μὲν ἐπιείκειαν ἔδειξεν ἦν τοῦ μὴ φιλονεικῆσαι πρὸς ἐκεῖνον ἄνθρωπον. τὸ δὲ μὴ παροινούμενος φέρειν ἐν τῷ τῆς συμμαχίας ἀποστῆναι. ἔργῳ γὰρ ἐβούλετο διδάξαι τὸν ὑβριστὴν, εἰς ὅν τινα ὄντα ἡμάρτανε. καὶ οὐκ ἔφθη χαλεπήνας, καὶ συμμετέστησεν αὐτῷ τὸν δία, ὥσθ' ὁ πρότερον μέγα ποιῶν τὰ τῶν ἑλλήνων καὶ τοῖς βαρβάροις ἐγκείμενος, ἦν τοὺς ἕλληνας μετὰ βαρβάρων ἐστράτευσε, σκήπτοις αὐτοὺς ἐξελαύνων, καὶ τοῖς ἐξ οὐρανοῦ πεμπομένοις βέλεσιν. οἱ δὲ τειχήρεις ἐκεῖνοι καὶ τρέμοντες καὶ οἷς ἤρκει σωθῆναι, πῦρ ἐπὶ τὰς τῶν ἑλλήνων ἐκόμιζον ναῦς. καὶ ὅπως αὐτοὺς μὴ λάθωσιν, ἀναχθέντες ἐσκόπουν. ἐνταῦθα δὴ φαίνεται, πόσος ἦν τοῖς πράγμασιν ἀχιλλεύς. ὡς γὰρ ἔκειτο μὲν τὸ τεῖχος, ἐκεκράτητο δὲ λαμπρῶς, σωτηρίας δὲ πόρος οὐδαμόθεν ἦν, ἐπὶ τὸν ὑβρισμένον ὁ παροινεῖν νομίσας καταφεύγει· δῶρα τὰ μὲν διδοὺς, τὰ δὲ ὑπισχνούμενος, εἰς τὸ γένος αὐτοῦ εἰσάγων διὰ τῶν πρεσβευτῶν, ἱκετεύων λῆξαι τὴν ὀργήν. ὁ δὲ οὐκ ἦν ἄρα μειράκιον ῥαδίως ἑλκόμενον, οὐδ' ἐξεπλάγη χρυσίον ἀκούσας, οὐδὲ πόλεις, οὐδὲ αἰχμαλώτους, ἀλλ' ἐγνωκὼς

αὐτὸν καὶ τις ὢν ἠτιμάζετο, τὴν ἀπέχθειαν ἐφύλαττε· τὰ δὲ ἑλλήνων πράγματα, καὶ δὴ μᾶλλον ἐφθείρετο. πῦρ μὲν ἀπενέμετο τῇ πρωτεσιλέω ναῦν. ἐλπὶς δὲ ἦν ἤδη πάσας προβήσεσθαι τὸ κακόν. σαφὴς δὲ ὄλεθρος ἐπέκειτο τοῖς ὅλοις. ἐνταῦθα δακρύει μὲν ὁ πάτροκλος, κάμπτεται δὲ ὁ πηλέως, τοῖς πολλοῖς ἐκείνου δώροις οὐ μεταπεισθείς. καὶ μέσην τινὰ ἔρχεται, τοῦ πολέμου γὰρ οὐκ ἐφάπτεται τῇ χειρί. τῇ δὲ μοίρᾳ τῶν μυρμιδόνων ἐπλήρωσε τὴν βοήθειαν, καὶ κοσμήσας τὸν πάτροκλον τοῖς ὅπλοις τοῖς ἑαυτοῦ, τοσοῦτον ἴσχυσε παρεῖναι νομιζόμενος, ὥστε ἀναπνεῦσαι μὲν τοὺς ἕλληνας, περιφόβους δὲ γενέσθαι τοὺς τρῶας, πολλὴν δὲ τοῖς πράγμασι φανῆναι τὴν μετάστασιν. ὡς δὲ ἤκουσεν ἀπεσφάχθαι τὸν πάτροκλον, μικροῦ μὲν ἑαυτὸν ἀπέσφαξεν. οὕτω φιλέταιρος, καὶ τοῦτον ἐποιεῖτο τοῦ συνήθους λόγου. κωλυθεὶς δὲ ὑπ' ἀντιλόχου, πρὸς τὸν πόλεμον ἠπείγετο. συμπεσεῖν ἐπιθυμῶν τῷ πατρόκλου σφαγεῖ. καὶ ταῦτα εἰδώς, ὡς κοινὸν αὐτοῦ κἀκείνου κατεψηφίζετο θάνατον. ἔδει γὰρ αὐτὸν ἐφ' ἕκτορι κεῖσθαι. καὶ τοῦτο ἦν βούλημα τῶν μοιρῶν. ὁ δὲ τὴν τιμωρίαν τοῦ τὸν ἑταῖρον ἀπεκτονότος, τιμιώτερον ἐποιήσατο τῆς ἑαυτοῦ σφαγῆς. καὶ λαβὼν

ὅπλα

ὅπλα παρὰ ἡφαίστου, ἦν δὲ ἄρα καὶ τὰ πρότερα τῆς αὐτοῦ τέχνης, θεῖα γὰρ ἀμφότερα, μεστὸν μὲν τὸ πεδίον φόνων, νεκρῶν, μεστὸν δὲ τὸν ποταμὸν ἐποίει, ὥστε αὐτοῦ καὶ τὸν εἰς θάλατταν διακόπτεσθαι δρόμον. φεύγοντα δὲ τὸν λαμπρὸν ἤλεγξε τὸν πριάμου. καὶ μετὰ ταῦτα κείμενον ἐδείκνυ. πραξάμενος δὲ τὴν τιμωρίαν διὰ τοῦ φόνου, τὸν μὲν ἐκείνου νεκρὸν ᾔσχυνεν ἑλκύσας. τὸν πάτροκλον δὲ ἐτίμησεν ἄθλοις. ἡκούσης δὲ τῷ πριάμῳ συμμαχίας, πανταχόθεν ταῦτα ἤλεγξε, καὶ τοῦ μηδενὸς ἀπέδειξεν ἄξια. μέμνονά τε τὸν αἰθιόπων ἀποκτείνας ἄρχοντα, καὶ πενθεσίλειαν, ἣ γυναικῶν ἠκολούθησαν, ἀνδρῶν τὴν μάχην φοβερωτέραν. ὅσοι μὲν οὖν ἄλλοι τῶν ἑλλήνων ἐτρώθησαν, οἱ βάρβαροι τοῖς τούτων ηὐδοκίμησαν τραύμασιν. ἀχιλλεὺς δὲ ἀποθνήσκων, οὐδενὶ ἀνθρώπων ἐπέθηκε δόξαν. καὶ τὸ ἴλιον, οὐκ ἄνευ τῆς ἀχιλλέως οἰκίας ἑάλω. διὰ γὰρ τοῦ νεοπτολέμου τὸ πᾶν ἐξειργάσατο. ἦν τις ἐν τῇ στρατιᾷ ταχύς, ἀλλὰ μετ' ἀχιλλέα. καὶ καλὸς, ἀλλὰ μετ' ἐκεῖνον. καὶ τί δεῖ καθέκαστον παραβάλλειν, ὁμήρου κηρύξαντος πάντα μετ' ἀχιλλέα δεύτερα.

ΨΟΓΟΣ ΑΧΙΛΛΕΩΣ.



Εἰ καὶ δόξα τις ἐκεκράτηκεν, εἶναι τὸν ἀχιλλέα θαυμαστὸν, ἐπειδὴ τῶν πραγμάτων ἡ βάσανος οὐ τοιοῦτον δείκνυσι, γενώμεθα τῆς ἀληθείας μᾶλλον, ἢ τῶν εἰκῆ δοκούντων. καὶ φανείτω διὰ τῶν λόγων οἷος ἐστὶν, οὐχ οἷος ὑπείληπται. καὶ με μή τις οἰέσθω ἀντερεῖν, ὡς οὐκ ἦν δίκαιος αἰακὸς, πηλεὺς δὲ σωφρονῶν, ἢ συγχωροῦντα χρηστοὺς ἐκείνους γεγονέναι βλαβήσεσθαι πρὸς τὴν παροῦσαν ἀπόδειξιν· τοῦτο γὰρ αὐτὸ καὶ τὸ δεινόν ἐστιν, ὅτι βλέπων εἰς πατρῴων ἀρετὰς, ὅμως τὴν κακίαν ὥρμησε· καὶ καλῶν αὐτῷ παραδειγμάτων ἑστηκότων, οὐκ ἠβουλήθη μιμήσασθαι. τῷ μὲν γὰρ ἐκ φαύλων, εἰ μὴ ποιεῖτο λόγον τοῦ κρείττονος, ἔνι συγγνώμη. τῷ δ᾽ οὐ παρέχοντι τῶν προγόνων ἄξιον ἑαυτὸν, οὐκ ἔστι παραίτησις, ἀλλὰ τοσούτῳ μισεῖται, ὅσῳ τοὺς προγόνους ἀρνεῖται τῷ τρόπῳ. ὅτι τοίνυν τοιοῦτος ἦν ἀχιλλεὺς, δείξω σαφῶς· τοσοῦτο ὑπειπὼν, ὡς οἱ σεμνύνοντες αὐτὸν, λέγουσιν ὑπὸ τροφεῖ τῷ χείρωνι μυελοὺς λεόντων ἀντὶ γάλακτος γενέσθαι οἱ τροφήν. ἔστω τοίνυν, θεῖον γενέσθαι τὸν κένταυρον. καίτοι τίς ἂν πιστεύσειεν συντεθεῖναι σώματος εἴδους

ἐξ ἀνθρώπου καὶ ἵππου. καὶ περὶ τροφῆς οὐκ ἀμφισβητήσειν. ἐκεῖνο φαίην ἂν, ὅτι ἡ πρέπουσα τοῖς ἀνθρώποις τροφὴ, τὸ γάλα, καὶ τῷ νόμῳ συμβαίνει τῆς φύσεως. οὕτω δὲ μὴ κατὰ τοῦτο συμβαίνει τραφῆναι, τοῦτο εἰς ἐλάττωμα τῷ τραφέντι σαφῶς ἀφῖκται. ἡμέροις ἐκεῖνο πρέπον, τοῦτο θηριώδεις ποιεῖ. ἀλλ' ἐάσθω ταῦτα, καὶ μὴ λίαν ἀκριβολογώμεθα. τὴν στρατιώτην δὲ δοκιμάσωμεν, ἤδη δυνάμενον τοῖς ἔργοις ἄρχειν, ἔλθωμέν τε ἐπὶ τὸν τρωϊκὸν πόλεμον, κἀκεῖθεν λάβωμεν τὴν ἐξέτασιν, ἵν' εἰδῶμεν τί τῶν ἄλλων ποιούντων, ἐν τίσιν ἦν ἀχιλλεὺς θαυμαστός. οὐκοῦν ἦγε μὲν ὀργὴ δικαία τοὺς ἕλληνας ἐπὶ τὴν πριάμου πόλιν, καὶ τιμωρίαν ἔδει λαμβάνειν παρὰ τῶν βαρβάρων, τῆς ὑπ' ἐκείνων ὕβρεως. τῶν λοιπῶν δὲ τὸν καιρὸν ἁρπαζόντων, καὶ τῶν γενναίων, καὶ τῶν οὐ τοιούτων, καὶ τοῦ δὲ θερσίτου μένοντος οἴκοι τὴν πρόφασιν ἔχοντος εἰς τὴν μόνην δικαίαν τὴν τοῦ σώματος βλάβην, μόνος ἀχιλλεὺς οὐκ ἐν ὅπλοις ἦν, ἀλλ' ἐν σκύρῳ μετὰ παρθένων. καὶ αὐτὴν ἀποθέμενος τὴν σκευὴν τὴν πατρῴαν, ἐοικέναι γυναιξὶν ἐσχηματίζετο. τοῦτο δὲ εἴτε ἄκων, εἴτε ἑκὼν, εἴτε αὐτὸ τῇ μητρὶ χαριζόμενος ἔπραττεν, ἀμφοτέρωθεν οὐ καλόν. μὴ γάρ μοι μηδὲ

γονεῦσι

γονοῦσι χαριζέσθω μηδείς, ἀφ' ὧν ἄδοξος ἔσται. μὴ δὲ εἰ κακῶς ἐκεῖνοι βεβούλευνται, βεβαιούτω παρεὶς ἀντιλέγειν. ἐγὼ γὰρ ἠξίουν τόν γε ὄντως ἀγαθὸν, δέξελεῖν τὸ δέος τῆς μητρὸς παραθαρρῦναι καὶ διαλεχθῆναι περὶ δόξης· ἀντιστατῆσαι τῷ φόβῳ τοῦ κλέους, ἀλγῆσαι, δακρῦσαι, πεῖσαι τὴν βουλομένην φυλάττειν, ὅτι τοῦ θανάτου χαλεπώτερον. καὶ μὴ πείθοντά γε, τοῦ μόνον ἀνιᾶσαι τὴν μητέρα, τὸ καὶ ἀκουσάσης γενέσθαι γενναῖον. ἐπεὶ δὲ ἧκε ποτὲ τέχνῃ καὶ μόλις εἰς τὴν τροίαν, τὴν ἑαυτοῦ τάξιν ὑπερβὰς, ἐπειρᾶτο τὸν ἀγαμέμνονα τῆς ἀρχῆς ἐκβαλεῖν. καὶ συνῆγεν ἐκκλησίας, ἄκυρος ὢν τοῦ παντὸς. καὶ τοὺς ἰδιώτας ἔπειθεν ἀνταγωνιστεῖν πρὸς τοὺς ἄρχοντας, τὴν ἑαυτοῦ ῥώμην ὑπισχνούμενος. τοῦ δὲ ἀγαμέμνονος αὐτὸν σωφρονίζοντος καὶ παιδεύοντος, καὶ πειρωμένου βέλτιω ποιεῖν τῇ τῆς κόρης ἀφαιρέσει, πεσὼν εἰς θυμὸν, καὶ τὸν λογισμὸν ἀπολέσας, καὶ κατασχεθεὶς ὑπὸ τῆς ὀργῆς, τί μὲν οὐκ εἶπε; τί δὲ οὐκ ἔδρασεν; ὡς δὲ πάντα τὰ κακὰ ὑβρίζων διεξεληλύθει, τελευταῖον ὥρμησεν ἐπ' αὐτὸν ἐν μέσοις τοῖς ἀχαιοῖς μετὰ τοῦ ξίφους. καὶ εἰ μὴ θεῶν τις ἐκώλυσεν, ἐπέπρακτο ἂν τὸ πρᾶγμα δεινόν. ὁ δὲ, ἐπὶ τούτῳ ἀφέστηκε τοῦ συμμαχεῖν. καὶ πρὸς τὴν γυναῖκα βλέπων

ἀπιστοῦσαν ἔκλαε. κατηρᾶτο τοῖς οἰκείοις, οὐδὲ τὰ μικρὰ ταῦτα φέρειν ἠπίστατο. καὶ μεθίησι τὴν εὔνοιαν ἐπὶ τοὺς τρῶας, καὶ ὅλως μετεβέβλητο, διὰ μίαν αἰχμάλωτον. καὶ οὐκ ἔστιν εἰπεῖν ὡς ὠργίσθη μὲν, ἑαυτοῦ δὲ ταχέως ἐγένετο, καὶ πάλιν ἐκοινώνει τῶν πόνων. ἀλλ' οὕτως ἀθάνατα ἐμήνυεν, ὥστε τοὺς οἰκείους ὁρῶν πράττοντας κακῶς, καὶ πρέσβεις ἥκοντας ὑπὲρ τοῦ λῦσαι τὰ ἐγκλήματα, καὶ πολλῶν λόγων ἀκούσας καλῶν, ἔμενεν ἐν τοῖς αὐτοῖς, ἃ μηδὲ τῇ ἀρχῇ ἔδει ποιεῖν· οὐ τὴν αἴαντος συγγένειαν αἰδεσθεὶς, οὐ τὴν φοίνικος πολιὰν, οὐ τροφέως τὰ δάκρυα. καίτοι παρὰ τῶν φύσει πολεμίων πρέσβεις ὁρῶντες, οἱ πεπονθότες κακῶς ἐν ταπεινῷ τῷ σχήματι, τὸν θυμὸν καταλύουσι, καὶ σπεισάμενοι φιλανθρωπίας ἀξιοῦσιν. ὁ δὲ ἕλλην, ὁ πηλέως, ὁ πολλὰ δίκαια πρὸς τοὺς ἀχαιοὺς ἔχων, ἀπράκτους ἀπέπεμψε πρέσβεις αἰδεσίμους, καὶ πρὸς οὕτως εὐλόγως ἥκοντας. καὶ εἰ μέν τις αὐτὸν εἴρετο τί πεπονθὼς χαλεπαίνει, τὸν ἀγαμέμνονα εἶπεν ἄν, καὶ τὰ παρ' ἐκείνου. τὸ δίκην δὲ παρὰ τῶν οὐδὲν εἰς αὐτὸν ἠδικηκότα λαμβάνειν, οὐδὲν εἰσηγεῖτο δεινόν. ἀνδρὸς γὰρ ἦν οἶμαι μὴ πικροῦ καὶ ἀνιαροῦ, καὶ τοῖς θηρίοις ἐοικότος, μετὰ γὰρ μηδὲν ἠδικηκὰς

ἔργα

στρατιᾶς, σῶσαι τὸν λελυπηκότα, ἢ διὰ τὴν πρὸς ἐκεῖνον ὀργὴν πάντας ἀπολέσαι. τοιοῦτος κρίνων δὲ ὧν εἶπον περιφανῶς, ἔτι ἀτοπώτερος ἐν τοῖς δευτέροις εὑρίσκεται. τῆς γὰρ τύχης λαμπροτέρας μετὰ τῶν τρώων ἀνθισταμένης, καὶ τῶν ἑλλήνων ἐμπεπρῆσθαι τὰς ναῦς πιεζομένων, οὐδ' ὑπὸ τοῦ πυρὸς διηλλάγη· ἀλλ' ὥσπερ μετὰ τῶν πολεμίων αὐτὸς εἰργασμένος, καὶ πειαλμῷ σύμμαχος ἥκων, ἔχαιρε μετὰ τῶν νενικηκότων. καὶ τοῦ πατρόκλου κλαίοντος πρὸς τὰς ἐκείνων τύχας, καὶ θρηνοῦντος τοὺς τετρωμένους, καὶ διδάσκοντος ὡς οἴχεται τὰ ἑλλήνων, ἐπετίμα τοῖς δάκρυσι, καὶ τὴν φιλανθρωπίαν ἐκάκιζε, καὶ τὸ τοὺς ὁμοφύλους ἐλεεῖν ἐν ὀνείδει προὔφερεν. ὡς δ' ἐκεῖνος ἔμενε δεόμενος, καὶ ταῦτα κινῶν, ὅρα τί ποιεῖ. μένει μὲν αὐτὸς ἐπὶ τῆς σκηνῆς, δίδωσι ἐκείνῳ τὴν σκευὴν καὶ τὸ στράτευμα, καὶ συνῆγεν εἰς ταυτὸν διαλλαγὰς καὶ μῖσος. τὸ μὲν γὰρ ἀναστῆσαι τὸν ἑταῖρον εἰς συμμαχίαν, διηλλαγμένου· τὸ δὲ μὴ αὐτὸν παρεῖναι τὴν παρατεταγμένον, θυμουμένου. ἐχρῆν δὲ οἶμαι τὸν μὲν πεπαυμένον τῆς ὀργῆς ἐξιέναι· τὸν δ' ἐπ' αὐτῆς ὄντα, μηδενὶ βοηθεῖν λόγῳ. ὁ δέ, τὸ μὲν ποιεῖ μισοῦντος, τὸ δὲ κηδομένου. ποίας ταῦτα

παιδείας. μᾶλλον δὲ τίνος οὐκ ἐκπλήξίας; χεῖζεσθαι τὴν γνώμην· καὶ μὴ ἔχειν ὁρᾶν. τί ποιῶν ἄμεινον ἔσαι. ἐπειδὴ ἔπεσεν ὁ πάτροκλος, καὶ οὐκ ἔτ' ἦν οὐδὲ βουλόμενον καθῆσθαι, καὶ τὸν ἐκείνου φονέα μετήει σφοδρῶς, καὶ εἶδεν αὐτὸν, καὶ ἐμονομάχει ποῖός τις κἀνταῦθα γίνεται; τέχνῃ μὲν ὁ λαμπρὸς, τύχῃ δὲ μέγας. καὶ οὐδὲ ὡς ἄμεινον ἐκράτησεν ἕκτορος, ἀλλ' ἀπέσφαξεν ἠτυχηκότα. καὶ τὸ ἔργον ἦν, τῶν μὲν ἐκεινόντων θεῶν· πρὸς ὃ κἂν ὁ φαυλότερος τῶν ἑλλήνων ἤρκεσε. δυοῖν μὲν ὄντοιν, αὐτὴ πάντων ἄριστον εἶναι μάχεσθαι. τῆς παραθέντος ἀκαιρίας ἧς ἔγεμε, σκοπῶμεν εἰ μὴ διὰ ταῦτα μισεῖσθαι μᾶλλον ἄξιος, ἢ δι' ἐκεῖνο θαυμάζεσθαι. ὥσπερ γὰρ οὐδενὸς ἦν ἵππου τάχος ὠφέλιμον δὲ ἀμαθίας, οὐδ' ἔστιν οὐδεὶς οὕτω κακοδαίμων ὅστις ἐθέλει κεκτῆσθαι θρέμμα οὕτως ἄχρηστον, οὕτως οὐδὲ ἀνδρὸς μετὰ πολεμικῆς ἐμπειρίας, πονηρίᾳ συζῶντος. πλέον γὰρ ἂν βλάψειεν, ἢ δύναιτο κερδᾶναι. ὅρα τοίνυν, ὅπως καὶ τὴν νίκην κατῄσχυνεν, ἐν οἷς μετὰ τὴν νίκην ἔπραξεν ἕκτορος. ὁ νεκρὸς εἵλκετο τεθνεῶτος, ἐξημμένος τοῦ ἅρματος. ὁ δ' οὕτως ἦν ἀνόητος, ὥστε λυπεῖν τὸ σῶμα ἀναίσθητον ᾤετο· καὶ οὐκ εἶχε συνιδεῖν, ὅτι ὃν μὲν ἡγεῖτο λυπῆσαι, τοῦ-

τον

τὸν οὐχ ὕβριζεν. ὕβριζε δ' ὁ τῆς φύσεως ἐν τῷ τετελευτηκότι νόμος, ὃς τὸν ἀπελθόντα γῇ κρύπτεσθαι βούλεται. παρὰ ποίων ταῦτα βαρβάρων ἔμαθες ἀχιλλεῦ; τίς σαυτῷ ἐδίδαξεν, ὡς ἄρα προσήκει καὶ κειμένοις πολεμεῖν; ὁ δὲ, καὶ τὸν νεκρὸν πεποίηται πρόσοδον. καὶ τὸ σῶμα πρίαμος μὲν ὁ πατὴρ ὠνεῖτο πολλῶν χρημάτων, ἐπώλει δὲ ὁ λαμπρὸς ἀχιλλεύς. καὶ οὓς ᾐκίζετο τεθνεῶτας, ἀπὸ τούτων ἐπλούτει. καὶ οὐκ ἐν τούτοις μόνον ἔξω τῶν ἑλληνικῶν καθίστατο νόμων, ἀλλὰ καὶ τῷ πατρόκλου τάφῳ τιμὰς ἀλλοκότους εὑρίσκειν, ἀντὶ βοσκημάτων αἰχμαλώτους σφάττων ἐν τῇ πυρᾷ. καί τοι τίς οὐκ οἶδεν, ὡς ὁ πολέμιος ἄλλως οὐκ ἔστιν ὅτι δυσμενής, ἀλλ' ὑπ' αὐτοῦ τοῦ κεκρατῆσθαι μεταβάλλει τὴν προσηγορείαν, ἱκέτης ἀντ' ἐχθροῦ καλούμενος. εἶτ' ἐπὶ τούτοις ἀνέξομαι τῶν λεγόντων, ὡς ἀχιλλεὺς ἄριστος τῶν ἐπὶ τροίαν ἐλθόντων. τίνος ἕνεκα; τῆς ἀσελγείας; τῆς παροινίας; τῆς ἀσπουδείας; τῆς ἀγροικίας; τῆς ἀσεβείας; τῆς ἀκρασίας; ἣν οὐχ ἡ βρισηῒς ἐλέγχει κόρη ζῶσα μόνον, ἀλλὰ καὶ νεκρά. οὗτος γάρ ἐστιν ὁ τῆς ἀμαζόνος μετὰ τὸν φόνον ἐρῶν, καὶ τῇ πενθεσιλείᾳ κειμένῃ ἐπιχυθείς. καὶ νὴ δία γε εἰκότως. τῆς γὰρ αὐτῆς καὶ πολεμεῖν νεκροῖς, καὶ νεκρῶν

ἐρᾶν. οὗτος ἐστιν, ὃν ἐποίει προδότην τῶν ὁμοφύλων τῆς Πολυξένης τὸ κάλλος. ὡς γὰρ εἶδεν αὐτός, καὶ ἐθαύμασε, καὶ τῶν πολεμίων ἦν· καὶ ὡς μὲν δοῦλος ἀφροδισίων ἐμνήστευεν, ὡς δὲ ἠλίθιος τοῖς ἐχθροῖς ἐπίστευε. καὶ τῇ τῆς πίστεως ἐλπίδι δελεασθείς, ἐν χερσὶ τῶν δυσμενῶν ἦν, καὶ ἀπεσφάγη, καὶ πάντα καταλιπὼν τῆς μανίας κληρονόμον τὸν Νεοπτόλεμον, ὃς καὶ χρώμενος ἐν Δελφοῖς περὶ τὸν νεὼν ἀπεσφάγη.

ΣΥΓΚΡΙΣΙΣ ΝΑΥΤΙΛΙΑΣ καὶ γεωργίας.



ΤΕΡΠΕΣΘΩ μὲν ὅστις ἐθέλει ναυτιλίᾳ, καὶ πλείτω καὶ κινδυνευέτω. ἐμοὶ δὲ γεωργίαν τε ἔπεισιν ἐπαινεῖν, καὶ τοὺς ἐν τῷ γεωργεῖν εὐδαιμονίζειν. καὶ δὴ ταῦτα ἐξεταζέσθω πρὸς ἄλληλα διὰ τοῦ λόγου. φανεῖται γὰρ μετὰ μὲν τῆς, πολλὰ καὶ δεινά. γεωργία δὲ ἔχουσα πάντα τὰ μέγιστα. παλαιότατον μὲν δὴ πρᾶγμα γεωργία, καὶ ἅμα τοῖς ἀνθρώποις εἰς τὸν βίον συνεισελθόν. ἔδει γὰρ εὐθὺς μὲν γενομένους δεῖσθαι καὶ τῆς ἀπὸ γῆς τροφῆς, δεηθέντας δὲ τὴν γῆν ἐπιχειρεῖν ἐργάζεσθαι. ναυ-

πλίαν δὲ, καὶ τὸ πλεῖν, εἰσήγαγεν εἰς τὸν βίον ἡ πλεονεξία. τὸ γὰρ διὰ πλεῖν αὐτοὺς ἔρως ἠνάγκαζε τοῦ πλείονος, καὶ τοῦτο τολμᾷ. καὶ πρῶτα ἔργα τῶν νεῶν λῃστεῖαι, καὶ τὸ ἁρπάζειν τὰ ἀλλήλων. καὶ νῦν πᾶν μὲν αὐτὸ οὐκ ἄνευ τῶν κινδύνων. πᾶν δὲ φυγῆς ἄξιον, οὗ πολὺ τὸ κινδυνεύειν. τούτου δὲ ὄντος τοιούτου, μεστὴ μὲν κινδύνων ἡ θάλαττα, καθαρὰ δὲ ἡ γῆ, καὶ τὸ ταύτην ἐργάζεσθαι. τίς μὲν φόβος ἐν τῷ ζεύξαντα ἀναῤῥῆξαι τὴν γῆν; τίς δὲ ἐν τὰ σπέρματα ἐπὶ τὴν γῆν ἀφεῖναι; οἱ πλωτῆρες δὲ, ἐπειδὰν λύσαντες παραμείψωσι τῶν λιμένων τὰ στόματα, πλησίον ἔχοντες τὸν θάνατον πλέουσι, λεπτὴν ἔχοντες εἰς σωτηρίαν ἐλπίδα, τὰ ξύλα ἐφ' ὧν φέρονται. καὶ μὴν θεαμάτων μὲν ἥδιστον ἀγρός, ἄμπελοι, τὸ περὶ ἅλωνας δῶρον, καρποί, φυτά, λήϊα. πικρότερον δὲ ἡ θάλασσα ταῖς τῶν ἀνέμων προσβολαῖς, κύματά τε κυρτούμενα, καὶ ἄνεμος φοβερός. ὥστε καὶ εἴ τις ἐκ τούτων διεσώθη, διὰ πάσης ἀδικίας φερόμενος σέσωσται. ἔτι γε μὴν δικαιοσύνη μὲν κάλλιστον, ἀδικία δὲ κάκιστον. ποιεῖ δὲ γεωργία μὲν δικαίους, ναυτιλία δὲ ἀδίκους. ὁ μὲν γεωργὸς σπείρας καὶ εὐξάμενος τοῖς θεοῖς, ἀναμένει τοὺς καρποὺς, καὶ δέχεται τὰς ἀμοιβὰς παρὰ τῆς γῆς, μι-

ἀγῶνα λυπήσας οὐδέν. τοῖς δέ γε ἐμπόροις, ἐν ταῖς ἐπιορκίαις τὰ ὄντα αὔξεται, καὶ ἡ τέχνη πρὸς τὸ πλουτεῖν τὸ καταφρονεῖν τῶν θεῶν. καὶ ἐπὶ πᾶσαν πόλιν πλέουσι, περὶ τὸ κακὸν ἐργαζόμενοι, ψευδόμενοι, παράγοντες, παρακρουόμενοι· καὶ ὅστις ἄριστα οἶδε περὶ ποιεῖν, οὗτος εὐπορώτερος ἄπεισιν. ὑγεία παρὰ γεωργοῖς· συνεχεῖς γὰρ οἱ πόνοι. καὶ ἔστιν αὐτοῖς ἔργα, καὶ θέρους καὶ χειμῶνος, καὶ τῶν ἄλλων ὡρῶν. τὸ γὰρ ἀεὶ κινεῖσθαι καὶ φιλοτεχνεῖν, νοσήματα ἀποκλείει, τὸ ὑγιαίνειν δὲ διατηρεῖ. πλωτῆρες δὲ τὰ πολλὰ ἀργοὶ κεῖνται, περὶ μὲν χειμῶνος, καὶ πάλιν ἐν καπηλίοις καὶ καπνῷ. περὶ δὲ θέρους ἡνίκα ἂν εὐτυχῶσιν. εἰ γὰρ δὴ οὐρίων φέρονται, κάθηνται ἐπὶ τῶν καταστρωμάτων, πίνοντες συνεχῶς, καὶ ἐσθίοντες ἔξω τοῦ μετρίου. καὶ ταῦτα εἴωθε τοῖς σώμασι νοσήματα ἐντίκτειν. ὡς ἡδὺ μὲν γεωργῷ διψήσαντι πιεῖν ἐκ πηγῆς, προθέντα τὸ στόμα τοῖς νάμασι. λυπηρὸν δὲ ναύτῃ πολλοῦ χρόνου ἐν πελάγει κάμνοντι, πιεῖν ὕδωρ οὐδὲν βέλτιον βορβόρου. τῷ γεωργῷ μὲν ἑσπέρας οἴκαδε ἐπανήκοντι, γυνὴ ἔστι παραμυθία, παῖδες ὁρῶντες τε καὶ ὁρώμενοι. ὁ δὲ πλέων δέδιε μὲν ὑπὲρ ἑαυτοῦ, ταράττεται δὲ τῷ περὶ τῶν φιλτάτων ἀδήλῳ.

κερ-

κερδαλέον ἡ θάλαττα, καὶ τὸ πλεῖν. ἐγὼ δὲ ἠσθόμην καὶ γεωργοῦντας, ἢ τοὺς πλέοντας. ἀλλὰ δῶμεν εἰ δοκεῖ, πλείονα διδόναι τὰ κέρδη τὴν θάλατταν. ἀλλ' ἣ δίδωσι, αὕτη καὶ ἀφαιρεῖται, καὶ μετὰ τῶν φορτίων προσαφαιρεῖται τὰς ψυχάς. καί τις ἀναχθεὶς μετὰ πολλῶν χρημάτων, ἢ συγκατέδυ τοῖς χρήμασιν, ἢ ἀπεσώθη γυμνός. καὶ πλείστους δὴ ἀνθρώπων τοῦτο ἐποίησεν ἡ θάλασσα· καὶ ὁ τῶν ἐμπόρων εὐπορώτερος, ἕως ἂν πλέῃ, οὔπω πλούσιός ἐστιν, οὐδὲ κέκτηται οὐδὲν, ἀλλ' ἔστι τῶν ἀνέμων καὶ αὐτὸς καὶ τὰ ἐκείνου. ἤδη δέ τινες ὁρῶντες τὴν οἰκίαν, τοῖς ὅρμοις πλέοντες, ῥαγείσης ἐξαίφνης νεὼς ἐξέπνευσαν, ἐλεεινότεροι τῶν ἀποπνιγέντων. ἥδιστον γοῦν τῇ πατρίδι διαταφῆναι, καὶ εἰπόντα τι πρὸς τοὺς οἰκείους ἀπελθεῖν· τοῦτο γεωργοῖς παρέχει τὸ γεωργεῖν. τῶν δὲ πεπλευκότων πολλοῖς οὐδαμοῦ τάφος ἐστὶν, ἀλλ' οὖν ταῖς ναυαγίαις γαστέρας ἰχθύων ἐπλήρωσαν.

ΣΥΓΚΡΙΣΙΣ ΑΧΙΛΛΕΩΣ καὶ Διομήδους.



Υ τὸ πολλῶν πείσομαι πάθος, οὐδ' ἡγήσομαι τὸν Ἀχιλλέα βελτίω τοῦ Διομήδους· ἀλλὰ τοὐναντίον ἐκεῖνον Ἀχιλλέως, εἰ καὶ μὴ διὰ πάντων, ἀλλ'

ἀλλ' οὖν γε τοῖς πλείοσιν. αὐτίκα τὸ γένος εἴ τις θαυμάζοι, τὸν πηλέα καὶ τὸν αἰακὸν σκοπῶν, καὶ τὸν δία, καὶ περὶ διομήδους ἔχοι ἂν εἰπεῖν ὅτι καὶ αὐτὸς σπέρμα θεῖον ἦν. θετταλίαν δὲ εἰ πάνυ τις θαυμάζει, τῇ πελοποννήσῳ γε καὶ ἄκων εἴξει. αὐξηθείσης τοίνυν τῆς παιδείας ἴσης καὶ ἀμφοτέροις, οἵους γεγενῆσθαι τοὺς ἄνδρας ἀπὸ τῶν ἔργων σκοπήσωμεν. οὐκοῦν ἐκάλει μὲν ὁ τρωικὸς πόλεμος τοὺς ἀρίστους, δοκιμάζων στρατιώτας εὐψυχίαν. ὁ δὲ γενναῖος ἀχιλλεὺς πολλὰ φράσας χαίρειν ὅπλοις, καὶ τῇ δόξῃ τοῦ πατρὸς εἰς σκῦρον καταφεύγει, καὶ εἰς παρθενῶνα κατέδυ, καὶ τὴν φύσιν ἔκρυψε τῷ σχήματι, κόρη δοκεῖν εἶναι βουλόμενος, ἢ παρατάξασθαι. διομήδης δὲ οὐ μόνον αὐτὸς ὑπήκουε τῷ καιρῷ, ἀλλὰ καὶ τοὺς ἀργῶς διακειμένους ἐκίνει· καὶ πρῶτον τοῦτον αὐτὸν παρὰ τοῦ χείρωνος ἐπὶ τὰς παρθένους δραμόντα. πῶς οὖν τούτου κρείσσων πρὸς τὸν πόλεμον, ὁ τοῦτο πάσχων ἂν εἴη; ὡς τοίνυν ἧκον εἰς τὴν ἴλιον, φοβηθέντων εὐθὺς τῶν πολεμίων, ἐθαυμάζετο μὲν οὗτος, ἐπῃνεῖτο δὲ ἐκεῖνος, τῶν ὑπὸ ἀχιλλέως πραττομένων, ἀνιούσης ἐπὶ τὸν διομήδη τῆς εὐδοξίας. δι' ὧν ἐκεῖνος ἐκοινώνησε τῶν ἀγώνων. χρόνου δὲ πολλοῦ διελθόντος, καὶ τοῦ στρατοπέδου νοσοῦντος, σκοπείτω

τις τὴν ἀπόνοιαν, καὶ τὴν ἀπαιδευσίαν τῶν ἠθῶν τοῦ ἀχιλλέως. πρῶτον μὲν τοίνυν ἐκκλησίαν συνῆγε, παρώξας τὸν βασιλέα· καὶ τοὺς περὶ ταῦτα νόμους ἐτάραξεν. ἔπειτα ὕβριζεν οὕτως ἀσελγῶς τὸν ἀγαμέμνονα, φειδόμενος οὐδενὸς ῥήματος, ὡς οὐδεὶς ἄρχων τὸν αὑτοῦ στρατιώτην. τελευταῖον δὲ καὶ ξίφος ἐγύμνωσεν ἐπ' αὐτόν. καὶ εἰ μὴ θεῶν τις ἐκώλυσεν, οὐδὲν ἂν ἦν ἐμποδὼν πάντα ἐκεῖνα τοῖς ἕλλησι μάτην πεπονῆσθαι. καὶ ταῦτα ἔπραττεν, αἰχμαλώτου μιᾶς ἐρῶν· ἣν ὁρῶν ἀγομένην, ἐδάκρυεν. οὕτως ἐδούλευε ταῖς ἡδοναῖς. ἀλλ' οὐ διομήδης ἐθαύμασεν αἰχμαλώτου κάλλος· ἀλλ' ὁμοίως ἀπεῖχεν ἡδονῆς πονηρᾶς, καὶ θυμοῦ τὸ μέτρον ἐκβαίνοντος. καὶ ταῦτα ὅς τις οἶδεν ὅμηρον, ἱκανῶς ἐξεπίσταται. ὁ γὰρ ἄρης ὁ παρ' αὐτοῦ τιτρωσκόμενος, καὶ ἡ τὸ αὐτὸ πάσχουσα ἀφροδίτη, μαρτυροῦσι κρείττον' ἢ πληγῆναι σιδήρῳ. πόθεν τοίνυν ἀχιλλεὺς βελτίων διομήδους; οὐχ ὁ μὲν ἡσύχαζεν, ὁ δὲ παρετάττετο; οὐχ ὁ μὲν ὠργίζετο, ὁ δὲ ἤλαυνε τοὺς πολεμίους; οὐχ ὁ μὲν ἦδε πρὸς λύρας, ὁ δὲ πρὸς οἰμωγὰς τοὺς ἐναντίους καθίστη; καὶ ταῦτα ἔπραττε διομήδης, διὰ τύχης ὑπὲρ τοὺς ἐναντίους μεθεστηκυίας, καὶ τοῦ διὸς τοῖς ἄνω βέλεσι συναγωνιζο-

γωνιζομένου τοῖς τρωσί. δεῖ δὲ τὴν ἀνδρίαν δοκιμάζειν οὐκ ἐν ταῖς εὐπραξίαις, ἀλλ' ἐν ταῖς ἀκαιρίαις. ἐν μὲν γὰρ ἐκείναις καὶ τοὺς φαυλοτέρους ὁρῶμεν εὐδοκιμοῦντας, ἐν δὲ ταύταις τοὺς τῶν ἄλλων διαφέροντας ἀντέχοντας. εἰκότως ἄρα τῶν πρεσβευόντων ὡς ἐκεῖνον ἀπράκτων ἐπανελθόντων, ἐπετίμα τῷ πεπομφότι. τὸ δὲ νυκτερινὸν ἔργον, πότ' ἂν ἀχιλλεὺς ὑπέμεινεν; ὃ τοσοῦτον ἴσχυσεν, ὥστε πεπτωκὸς τὸ φρόνημα τῶν ἑλλήνων, ἐπέῤῥωσε ταῖς τῶν ἐναντίων σφαγαῖς. καὶ τί δεῖ τὰ πολλὰ λέγειν; οἱ γὰρ πολέμιοι, πάλαι τὴν ψῆφον ἐνηνόχασιν. ὅταν γὰρ λέγωσιν, οὐδὲ ἀχιλλέα ποτὲ οὕτως ἐδείσαμεν, τότε διδάσκουσιν ἅπαντας ὡς οὐ δεῖ φιλονεικεῖν, οὐδ' εἰς ἴσον ἄγειν τῷ διομήδει τὸν πολὺ λειπόμενον. κριταὶ γὰρ ἀκριβεῖς εἰσι περὶ τοῖς ἕλλησιν ἀρετῆς, οἱ πολέμιοι, παρ' αὐτῶν ὧν ἔπαθον μεμαθηκότες, τίς ἀμείνων καὶ τίς δεύτερος. εἶτά μοι τὸν ἕκτορα λέγεις, ὡς ἀπέθανεν ὑπ' ἀχιλλέως. τὸ δὲ πῶς ὑπερβαίνεις; οἶδα γὰρ, ὡς εἴ τις προσθείη τῆς νίκης τὸν τρόπον, ἑτέρου μὲν φανεῖται τὸ ἔργον, ἑτέροις δὲ ἡ δόξα. τὸν δὲ ἕκτορα, πολὺ μὲν πρότερον αἴας ἀχιλλέως κατέβαλεν ἐν τῷ μονομαχεῖν. ταυτὸν δ' ἂν ἐπεποιήκει διομήδης, εἴπερ ἦν λαχών. ση-

μεῖον

μεῖον δὲ, τοῦτον καὶ ηὔξανε τὸ στρατόπεδον τῶν λαγχανόντων εἶναι, τῇ δὲ νίκης ἐλπίδι πρὸς τὴν εὐχὴν ἀγόμενοι. εἶθ' ὁ μὲν εὐθὺς αὐτὸν κατήχωσε τὰ πεπραγμένα, πολυξένης ἐρῶν, πρὸς τοὺς ἐχθροὺς σπευδόμενος, τοὺς οἰκείους προδιδούς. ὁ δὲ, ἐξῆλθε μέχρι τοῦ τέλους τηρῶν τὴν τάξιν τῆς εὐνοίας, δι' ἣν ἦλθε μὲν εἰς μέσην τὴν τῶν ἐναντίων πόλιν, ἐγύμνωσε δὲ τοῦ μόνου φυλακτηρίου τὸ ἴλιον. εἰ οὖν ὑπὲρ μὲν τοῦ τὴν πόλιν ἑλεῖν ὁ πᾶς συνεστήκει πόλεμος, τοῦτο δὲ διὰ τὴν διομήδους τόλμαν πέπρακται, πῶς οὐ μικρὰ πάντα τὰ τῶν ἄλλων πρὸς τὰ τοῦδε, τῶν τόσους καὶ τόσους ἀποκτενόντων; ἔτι τοίνυν ὁ μὲν αἰσχρῶς ἀποθνήσκει, παρὰ τοῦ δειλοτάτου καὶ τοξότου πάριδος. ὁ δὲ, τό, τε ἄστυ τῶν δυσμενῶν ἐπολιόρκησε, καὶ μετ' εὐκλείας ἀπέπλευσε· καὶ τῆς οἴκοι ταραχῆς καταγνούς, οἰκιστὴς ἑτέρωθι γίγνεται· καὶ τῆς ἀθανασίας, ἧς ὁ τυδεὺς οὐκ ἔτυχε, μικροῦ ταύτης ἀπήλαυσε διομήδης.

ΤΙΝΑΣ ΑΝ ΕΙΠΟΙ ΛΟΓΟΥΣ ἀνδρομάχη κειμένῳ ἐφ' ἕκτορι.



ΚΕΙ δὴ πρὸς ἔργον ὁ φόβος, καὶ τοὺς ἐμοὺς λόγους ἕκτωρ ὑπεριδὼν ἔγνω μετὰ βέλτιστα εἰσηγουμένην. παρῄνουν ἑαυτοῦ φείδεσθαι· ὁ δὲ,

ἠφεί-

ἠφάνισε. τοιγαροῦν τέθνηκεν οὐκ ἐν ταῖς ἡμε-
τέραις ὦ θεοὶ χερσὶν, ἀλλ' ὑπὸ τῶν ἀχιλλέως.
τὸ δὲ ἐκεῖνον τεθνάναι, τὸν πρίαμον ἐστὶν ἀπο-
λωλέναι, τὴν ἑκάβην, τοὺς ἀδελφούς, τουτὶ τὸ
παιδίον, ἐμὲ, τὴν πόλιν ὅλην. ἐκεῖνος ἔσωζε τὸ
ἴλιον. πόθεν οὖν ἔτι σωθήσεται; ἔῤῥει πάντα,
καὶ διέφθαρται. καὶ γέγονα γυναικῶν ἀθλιω-
τάτη. οἵας μετεβίβασαν ὁ δαίμων εὐδαιμονίας
ἀπεστέρησεν; ἦν μοι πατὴρ καὶ μήτηρ ἐν βασι-
λείοις, καὶ χορὸς ἀδελφῶν, καὶ πάντα λαμπρά.
τούτοις προσεγένετο μεῖζον ἕτερον· σύνοικος ἕ-
κτωρ, ὁπλίτης θαυμαστός, ἀγαθός. ἐβλεπόμην,
ἐθαυμαζόμην. καὶ τὴν ἀνδρομάχην τις προσει-
πὼν, τοῦ στρατηγοῦ προσέθηκεν αὐτὴν, τοῦ ἱερα
τοιοῦτος, τὴν μακαρίαν. ἔδει μὲν οὖν μέχρι
γήρως διὰ ὁμοίας ἀφικέσθαι τῆς τύχης, ἀλλ' οὐκ
εἴασαν ὁ χαλεπὸς οὗτος ἀχιλλεύς, ὃν ἡ θέτις ἔ-
τεκεν ἐπ' ἐμοί. κατήνεγκέ μοι τὸν πατέρα, ἀ-
πέσφαξε τοὺς ἀδελφούς, δουλείαν ἐπέβαλε τῇ
μητρί, εἶτα ἀπέδοτο. καὶ οὐδὲ αὐτὴ περίεστι.
καὶ ταῦτα δεινὰ μὲν, φορητὰ δὲ ἐποίησας ἕ-
κτωρ τὰ δυστυχήματα· καὶ τὰ πάντων πα-
ρεῖχες μόνος. καὶ ὧν ἐστερόμην, ὤμην εἶναί μοι
διὰ σοῦ. ἀλλ' ἀπεσφάγης, ἐδέξω τὴν πληγήν.
ᾠχόμεθα, ἀπολώλαμεν. πρόσεισι τὰ δεινά.

πλησίον

πλησίον ὁ κίνδυνος, ἐγγὺς τὸ πῦρ. ὁρῶ μοι δοκῶ τοὺς τρῶας κατακοπτομένους, τὰς γυναῖκας ὑβριζομένας, αἰχμαλωτευομένας, τοὺς παῖδας ἑλκομένους, ὁρῶ τὸ πῦρ, ὁρῶ τὸν σίδηρον. ἀνέῳκται τοῖς πολεμίοις τὸ ἴλιον, οὐκ ἔτι τοῦ προβεβλημένου τῶν πυλῶν. ὦ παιδίον. ἴσως σε λαβών τις τῶν πολεμίων, προσαῤῥάξει τῷ πύργῳ. γυναῖκα ἣν ὁ πατὴρ, ὀφείλεις δίκας τοῖς ἀχαιοῖς. ἐμὲ δὲ ἄρα ἀποκτενεῖ τις, τοῦτο γοῦν εὐτυχήσομεν. ἀλλ᾽ οὐκ ἔτι δουλεία μεμένει, καὶ διακονία, πληγαὶ, καὶ διατέλους δάκρυα. καὶ γῆν ἴσως ὄψομαι, περὶ ἧς ἡμῖν οὗτος ὁ πόλεμος ἦλθε. τάχα που καὶ τὸ δεινὸν ἀναγκασθήσομαι, μιγνυσθαι τῷ τὸν ἕκτορα ἀποκτείναντι.

ΤΙΝΑΣ ΑΝ ΕΙΠΕ ΛΟΓΟΥΣ ὁ χείρων ἀκούσας ἐν τῷ παρθενῶνι εἶναι τὸν ἀχιλλέα.



ΠΗΛΙΟΝ. ἀλλότρια σοῦ χορείας τὰ θρυλλούμενα. ὦ παιδεία καὶ ἀρετὴ, καταισχυνθεῖσα τοῖς λόγοις. τίς τῶν τῆς ἀδοξίας ῥημάτων ἄγγελος; τίς αἰσχρὰν φήμην ὑπηρετεῖν ἐτόλμησεν; ἄπιστα μὲν λέγων, κατηγορῶν τῆς ἀληθείας· τάχα δέ που καὶ πιστευόμενος.

ἐδυόμενος τίνα καταιτιάσομαι τῆς ἀδοξίας; ἀρετὴν τίνα τῶν προγόνων μιμησάμενος ἀχιλλεὺς, τὰ τῶν παρθενώνων ἠγάπησεν; αἰακὸν, ἢ τὸν πηλέα; ἀλλ᾽ ὁ μὲν ἐκ διὸς χειροτονίαν ἐδέξατο, ὁ δὲ σωφροσύνης ἆθλον, τὸν θέτιδος γάμον, ὧ θεῶν κηδεστὴς θνητὸς ὢν αὐηγορεύετο. τοῦτον νὴ δία τὸν πλ ον ἀκοντίσας σεμνυνόμενον, ἔτρεμον. τούτου καὶ δεξιὰν ἐφείλετο θὴρ καταγωνιζόμενος. ποῦ σοι τοῦ πηλέως τῆς ἱππικῆς τὰ διδάγματα; ποῦ δρόμος καὶ γυμνάσια, δι᾽ ὧν ἐφάνης ἀήττητος; εἰς τοιοῦτον ἄρα τέλος ἐξεπαίδευον, ἐξέπεμπον διαθλήσαντα, ἵνα χεῖρα δεξιὰν διαδέξωνται παρθένοι, ἵνα μετὰ πηλέως λυκομήδης οἰκειωθήσεται, ἵνα τὸν πηλέως, σιωπῶ καὶ τοὔνομα, κόραι σύννομον δέξονται; ὢ μόνος τῶν ἀνομοίων κοινωνίαν εἰργασμένος λυκομήδους καὶ χείρωνος. καὶ μετὰ πηλέως καὶ ὁ θάλαμος, καὶ μετὰ ἱππικὴν ἰσουργία παρθένων. καὶ μετὰ κυνηγέσια, πῶς ταλασία τὰ διδάγματα τὸν χείρωνα, πῶς ἐδίδαξε δεξιὰν τόξον φέρειν, διδαχθεῖσαν τὰ τῶν παρθένων ἐργάζεσθαι; οἴμοι τῆς ἀκοῆς. ἄρα καὶ χλαῖνα γυναικεία κατεκόσμησεν, ἄρα καὶ κρήδεμνον κατασχύνει τὸν βόστρυχον, ὑπέμειναν πόδες ὑπὸ θηρείων τοῖς ὄρεσι

βαίνοντες, οἱ δρόμῳ φοβήσαντες τοὺς πάντων τάχει κρατήσαντας. τὰς χεῖρας οὐ διέφυγεν οὐδ' ἵππος κροαίνων, οὐδὲ λέων ὁρμῇ φερόμενος. σὴν ψυχὴν νενίκηκεν ὁ φόβος, ὁ τρόμος, οὐκ ἀπειλὴ δυσμενῶν· ἀλλ' ὧν ἠπιστάμην, τἀναντία νῦν ἀγγέλλουσι· καὶ ἀπώσαιμεν τοὺς λόγους, ἡ φήμη πολλοῖς πεπίστευται. τοῦ ἀχιλλέως πρόγονοι θεοῖς τὴν δόξαν ὁ πηλέως † προσανέθηκεν. ἔστι γὰρ αἷμα θεῶν, παρθένος δὲ τὴν προαίρεσιν. τίς ἄρα θεσπίδι τούτων ἄγγελος γενήσεται; θεὸς γὰρ οὖσα, καὶ γυνὴ, τοῖς παροῦσιν αἰσχυνθήσεται. διὸ μήτηρ ἀνδρὸς ἐκεκλητο, καὶ κόρης αὖθις κληθήσεται, † ὑπὸ μελείας τῆς φύσεως διπλοῦν λαβοῦσα τὸ πρόσρημα· καὶ διὰ ἑνὸς τοῦ φιλτάτου τοῖς ἐναντίοις κληθεῖσα. λυέσθω μοι τοίνυν τῆς ἀρετῆς τὰ παιδεύματα, ἀφείσθω μοι νέων κατάλογος προσφιλής. τὸ γὰρ τῆς παιδείας φοβεῖ με τέλος ἀκλεές.

παρθένοις ἀνέθηκεν

ἐπὶ ἀμελείᾳ

ΕΚΦΡΑΣΙΣ ΠΕΖΟΜΑΧΙΑΣ.



νθρωποι δὲ ἐπειδὰν εἰς πόλεμον καταστῶσι, κατὰ τὰ ὑπάρχοντα αὐτῶν ποιοῦσι τοὺς ἀγῶνας. οἷς μὲν εἰσὶ νῆες, ναυσίν. οἷς δὲ ἵπποι, ἱππεῦσιν. οἱ δὲ τῶν ὅπλων ἰσχύοντες

ταῦτα κρίνουσι πρὸς ἀλλήλους. οἷς δέ ἐστι τὰ πάντα, διὰ πάντων μάχονται. καλαὶ μὲν οὖν αἱ ναυμαχίαι, καὶ τέχνης δέονται. πεζομαχίαι δὲ ἀξιολογώταται καὶ ἀρχαιόταται. ἐγὼ δὲ θέας τῆς γενομένης μάχης τοιαύτης, ἐθέλω σοι δεῖξαι λόγῳ τὴν θέαν. πόλεις γὰρ ἠπείρῳ πλησίον ἀλλήλων κείμεναι, εἰς ἔχθραν ἧκον, ἐπειδὴ τῇ μὲν ἐδόκει πλεονεκτῆσαι, ἡ δ' οὐκ ἠνείχετο ἐλαττοῦσθαι. λόγοι δὲ ἦσαν ἐν ἑκατέρᾳ ῥητόρων· ὧν οἱ μὲν ἐπῄνουν τὸ κρατεῖν, οἱ δὲ μὴ ὑπακούειν. καὶ οἱ μὲν ἐνέβαλον ἔρωτα τοῖς αὐτῶν τῆς ἀρχῆς, οἱ δὲ τῆς ἐλευθερίας. καὶ ἡνίκα πολέμου καιρὸς ἦν, ἐν παρασκευαῖς ἦσαν, τὰ ὑπάρχοντά τε ἐξετάζοντες, καὶ συμμάχους ἀγείροντες. ἐπελθόντων δὲ τῶν ἀδικούντων, ἀντεπεξῄεσαν οἱ ἀμυνόμενοι. καὶ ἐδέξατο χωρίον ἑκατέρους λεῖόν τε καὶ εὐρὺ, καὶ ἀρκοῦν τῷ ἔργῳ. ἐτάξαντο δὲ ὧδε. ἔνθεν μὲν ἑκατέρου μέρους ἦσαν ἀμφότεροι οἱ ἱππεῖς. τὸ δὲ μέσον ἐπεῖχον οἱ ὁπλῖται, τοξόται τε, καὶ ὅσον ψιλὸν ἐφείπετο. θήξαντες δὲ οἱ στρατηγοὶ ταῖς παρακλήσεσι τῶν μαχομένων τὰς γνώμας, ἐκέλευον ἆραι τὰ σημεῖα. καὶ ἤρξαντο τοξόται τῆς μάχης. καὶ βέλη πολλὰ ἐφέρετο, τὰ μὲν εἰς σώματα, τὰ δὲ ἀπετύγχανον. ἕως δὲ ἀνήλωτο τὰ βέλη τοῖς τοξόταις, ἐν χερσὶν

ἦν

ἦν ἡ μάχη. καὶ δρασμὸς πολὺς, καὶ πάταγος, καὶ φόνος, ὃν εἰργάζετο τέως τὰ δόρατα. ἐπεὶ δὲ οὐ τούτοις ἦν ἔτι χρῆσθαι, ξίφεσιν ἀλλήλους ἀπέκτεινον. καὶ τοῦ μὲν ἀπεκόπη χεὶρ, τοῦ δὲ ὀφθαλμὸς ἐξεκόπη, ὁ δὲ ἐν τῷ βουβῶνι πληγεὶς ἔκειτο, τοῦ δέ τις ἀνέρρηξε τὴν γαστέρα. καὶ ὁ μὲν ἀγαθὸς εἶχεν ἐπὶ τῷ στήθει τὴν πληγήν. τὸν δὲ κακὸν εἶδες ἂν κατὰ τοῦ νώτου τοῦτο παθόντα. κτείνας τις τοῦτον ἐσκύλευε κείμενον. τὸν δὲ ἰδών τις σκυλεύοντα, πλήξας ὕπτιον κατήνεγκεν. αὐτὸν δὲ ἐκεῖνον ἕτερος. ὁ μέν τις πολλοὺς κτείνας ἀπέθανεν, ὁ δὲ ὀλίγους. ὁ δέ τις οὐδὲν δράσας, ἔκειτό γε ἐπ' ἀσπίδι τεθνεώς, ὁ δὲ ἐπ' οὐδενί. πολλοὶ δὲ καὶ τεθνάναι σχηματιζόμενοι, τοὺς ἐφισταμένους κάτωθεν ἐτίτρωσκον. ἱππεὺς ἔκτεινεν ὁπλίτην, ὁπλίτης ἱππέα. ὁ μὲν ἐκβαλὼν τοῦ ἵππου τὸν στρατιώτην, ὁ δὲ πρότερον πλήξας τὸν ἵππον, ἔπειτα ἐκεῖνον δυνηθείς. τὸ δὲ αἷμα τὴν γῆν ἐφοίνισσε. καὶ ὑπερβαίνοντες τοῖς νεκροῖς οἱ ζῶντες, τὰ λοιπὰ ἔπρασσον. ἤδη δέ τις καὶ ζῶν εἰλημμένος, λύτρων ἐμέμνητο πρὸς τὸν ἑλόντα. τῷ δὲ οὐδὲν ἔμελλε χρημάτων, ἀλλ' ἐπλήρου τὸν βόθρον. μέχρι μὲν οὖν μεσημβρίαν σταθῆναι, ἀμφοτέρωθεν ἦν ἔργα γενναῖα. τὸ δὲ ἐντεῦθεν, ἔδοσαν δίκην οἱ ἀδι-

κοῦντες. τῶν γὰρ ἱππέων αὐτοὺς περικλειόντων, δείσαντες μὴ κωλυθεῖεν, ᾤχοντο φεύγοντες. οἱ δὲ ἐνέκειντο σὺν βοῇ, ἣν ἠφίεσαν χαίροντές τε τῇ τροπῇ, καὶ ἅμα ἐκείνους προσεκπλήττοντες. διώκοντές τε τοῦ ζωγρεῖν μᾶλλον, ἢ τοῦ φυγεῖν ἐγίνοντο. καὶ εἷλον αἰχμαλώτους πολλούς, τοὺς μὲν τετρωμένους, τοὺς δὲ ἄνευ τραυμάτων. οἱ δὲ διαφυγόντες, κατέφυγον εἰς τὸ ἄστυ, καὶ ἀνείλοντο νεκροὺς ὑποσπόνδους· οἱ δὲ αἰχμαλώτους ἄγοντες, καὶ λάφυρα, παιανίζοντες ἀνέστρεφον. καὶ ἦν παρὰ μὲν τοῖς νενικηκόσι τὰ τῶν κρατούντων θυσίαι, πρόσοδοι, καὶ στεφανοῦν τοὺς ἀριστεύοντας. οἱ δὲ ἡττώμενοι, τοὺς ῥήτορας εἶχον ἐν μέμψει. κατηγόρουν δὲ ἅμα μὲν τῶν στρατηγούντων οἱ ῥήτορες. καὶ ἐδόκει τῶν παρόντων, τοῖς μὲν χρῆναι καταλύσασθαι τὴν ἔχθραν, τοῖς δὲ καὶ δευτέραν αὖθις συγκροτῆσαι μάχην.

ΕΚΦΡΑΣΙΣ ΓΡΑΦΗΣ ἐν βουλευτηρίῳ.



Ν δὲ τῇ αὐλῇ τοῦ βουλευτηρίου, ἡ δέ ἐστιν οὐ μεγάλη, καλὴ δὲ στοῶν ἐν μέσῳ τεσσάρων, ἃς ἐποίουν κίονες, εἶδον τοιαύτην γραφήν, ἀγρὸς ἦν, καὶ οἰκήματα ἀ-

ἀγροίκῳ πρέποντα, τὰ μὲν μείζω, τὰ δὲ ἐλάτ-
τω. παρὰ δὲ τῶν οἰκημάτων ἀνατρέχουσαι ἑω-
ρῶντο ἦν πτελέαι· ὅλας μὲν οὐκ ἦν ἰδεῖν, ἐκά-
λυε γὰρ τὰ οἰκήματα. τὰ δὲ ἄκρα τῶν δένδρων
ἐφαίνετο, τότε γε ὑπεραίροντα. ταῦτα, ὡς εἰ-
κός, ἀνάπαυλαν παρεῖχε τοῖς ἀγροίκοις, σκιάν τε
τὴν ἀπὸ τῆς κόμης, καὶ ὀρνίθων φωνή, οἳ χαίρον-
τες ἐπὶ τῶν δένδρων ἱζάνοντες. ἐγράφοντο δὲ
τινες ἐκ τῶν οἰκημάτων τέσσαρες. ὁ μὲν παρεκε-
λεύετό τι μειρακυλλίῳ πλησίον ἑστῶτι· τοῦτο γὰρ
ἐμήνυεν ἡ δεξία, ὡς ἄρα τι ἐπιτάττοι. ὁ δὲ ὑπέ-
στρεφε πρὸς τούτους, οἷα φωνῆς ἀκούων τοῦ ἐπιτάτ-
τοντος. ὁ δὲ δὴ τέταρτος ὀλίγον προελθὼν τῶν
θυρῶν, τὴν δεξιὰν ἐκτετακώς, ῥάβδον τῇ ἑτέ-
ρᾳ φέρων, ἐφαίνετό τι βοᾶν πρὸς τοὺς πονοῦντας
περὶ τὴν ἅμαξαν. ἄρτι γὰρ ἅμαξα φορτίου πλή-
ρης. οὐκ ἔχω δὲ εἰπεῖν εἴτε ἄχυρα ἦν, εἴτε ἄλλο
φορτίον, ἀλλὰ ῥαθύμως βοηθεῖν ἐπειρῶντο, ὁ μὲν
ἔνθεν, ὁ δὲ ἔνθεν· ὁ μὲν γυμνὸς ὅλου διὰ σώματος,
βακτηρίᾳ ἀνέχων τὸ φορτίον· τοῦ δὲ ἐφαίνετο
μὲν τὸ πρόσωπον, καὶ μέρος τι τοῦ στήθους. ὅσα
δὲ εἰκὸς ἐκ τοῦ προσώπου τοῖν χροῖν, καὶ αὐτὸς
ἤμυνε. τὰ δ' ἄλλα ὑπὲρ τῆς ἁμάξης ἐκρύπτετο. οὐ
δὴ ἅμαξα, οὔτε τετράκυκλος ἔφησεν Ὅμηρος, ἀλλὰ
δυοῖν τροχοῖν, οἳ καὶ τὸ φορτίον περιέρρει, καὶ ἐ-

δέοντο τῶν ἀμυνόντων οἱ βόες, ἄμφω τὸ χρῶμα φοίνικες, καὶ εὖ τεθραμμένοι, καὶ τοὺς αὐχένας πλατεῖς. τῷ βοηλάτῃ δὲ τὸν χιτωνίσκον ἀνέστειλεν εἰς γόνυ ζωστήρ. τῇ μὲν οὖν δεξιᾷ λαβόμενος τὸν χαλινὸν εἷλκε· ῥάβδον δὲ ἔχων ἐν τῇ ἑτέρᾳ, οὐδὲν ἄρα ἐδεῖτο εἰς τὸ προθύμους ποιεῖσθαι τοὺς βοῦς· ἀλλ' ἤρκεῖτο τῇ φωνῇ. καὶ γὰρ ἤδη τι πρὸς αὐτοὺς οἷα δὴ φθεγγόμενος ἔβλεπεν, ὧν ἂν ξυνίη βοῦς. ἔτρεφεν ὁ βοηλάτης καὶ κύνα, ὡς ἂν ἔχοι καθεύδειν ἔχων τὸν φύλακα. καὶ παρῆν ὁ κύων τοῖς βουσὶ παραθέων. χωροῦσα δὲ ἡ ἅμαξα, πλησίον ἦν ἱεροῦ. τοῦτο γὰρ ἐσήμαινον οἱ κίονες, καὶ τὰ ὑπερκύπτοντα δένδρα. ἄγαλμα δὲ οὐκ ἐδείκνυεν ἡ γραφή, ἴσως αὐτὰ τὰ δένδρα θεοὺς ἡγούμενοι, καὶ ἐθεράπευον. ἢ τάχα ἦν μὲν ἄγαλμά τι, τὸ δὲ ὑπὸ τῶν δένδρων οὐκ ἐφαίνετο.

ΕΚΦΡΑΣΙΣ ΜΕΘΗΣ.



ΤΟΝ οἶνον ἢν πίνῃ τις μετρίως, τό,τε σῶμα ὤνησε, τὴν δὲ ψυχὴν οὐκ ἔβλαψεν. ἢν δ' ἐκφέρηται πρὸς ἀμετρίαν, καὶ πίνῃ πρὸς ὑπερβολήν, καὶ ἤδη μεθύσκηται, τοιάδε ἀνάγκη πάσχειν. εἶδον γὰρ μεθύοντα ἄνθρωπον ἔν τε αὐτῷ τῷ συμποσίῳ, καὶ οἴκαδε

δὲ

δει ἰοῦσι παρηκολούθησα. ἕως μὲν οὖν οὐκ ἐμπέ-
πλησο, πάνυ σωφρόνως τε διελέγετο, καὶ ἦν
ἄμορφος, καὶ εἶπεν ἄν τι οὐκ ἄμουσον, καὶ σκῶμ-
μα αὖ ἠνέχετο. κρατοῦντος δὲ ἤδη τοῦ οἴνου,
καὶ τυραννοῦντος, τότε σῶμα ἠρυθραίνετο, πρὸ
χειρός τε ἦν εἰς ὀργήν, καὶ ὕβριζε μὲν ἑτέρους.
εἰ δέ τις χαριεντίσαιτο, ἐδυσχέραινε. κατηγόρει
δὲ καὶ τοῦ οἰνοχόου, μηδὲν ἁμαρτάνοντος. καὶ
ἥ τε κύλιξ ἐπιπτε τῆς χειρός· τό, τε βλέμμα πα-
ρήγετο. ἥ τε γλῶττα, τὸ αὐτὸ ἐπεπόνθει. ὡς δὲ τὸ
ἀνίστασθαι ἔδει, τῶν ὀρθωσόντων ἐδεῖτο, καὶ ἀξόντων.
καὶ μέχρι μὲν τῶν τὴν ἀγορὰν ἥκειν, ἐδεῖτο τῶν ἀ-
γόντων. ὡς δὲ ἐνταῦθ' ἐγεγόνει, τὸν μὲν ἀφῆκεν,
ἐπειρᾶτο δὲ ἀρκεῖν αὐτῷ· οὐ μὴν ἴσχυσεν· ἀλλ'
ἐῴκει τοῖς παραπαίουσι, τῇδε καὶ τῇδε φερόμενος,
ἐλπίδα παρέχων ἀεὶ πεσεῖσθαι· τῷδ' αὖ τοῦ
καὶ γέλωτα. οὐ γὰρ ἦν ὅς τις αὐτὸν οὐ γελῶν ἑώρα.
τῶν δὲ συνήθων ὅς τις προσῆλθε βοηθήσων, οὐκ
ἐγνωρίζετο, δυσγενοῦς τε ἔργον ἐδόκει ποιεῖν.
μόλις δὲ ἐλθὼν οἴκαδε, πολλῶν ἐφεπομένων,
(ἡδονὴν γὰρ δὴ παρεῖχεν ἡ τοῦ μεθύοντος συμ-
φορὰ) τοῖς μὲν οἰκέτους ἐπέπληττεν· ἡ γυνὴ δὲ
αὐτῷ καλῶς ἐδόκει τἄνδον διῳκηκυῖα, πλημ-
μελοῦσα οὐδέν. καὶ οὐδενὸς ἐπ' αὐτῶν ἐφείδετο,
πρανὲς δ' οὐδὲν, οὐδ' ὁλόκληρον. ἀλλὰ τοῦ μὲν

γράμματα, τοτὲ δ' ἀφήρητο συλλαβὴν, τοτὲ δὲ, τι καὶ πλέον. καθίζων δὲ διεμέμφετο τὴν οἰκίαν, ὡς οὐκ ἐθέλουσαν ἑστάναι. καὶ ἐβόα, πολλὰ δὴ καὶ συνεχῆ, καθάπερ ἀδικούμενος. ἔπειτα ἐκταθεὶς, ἔκειτο κατειλημμένος ὕπνῳ μάλιστα ἐοικότι θανάτῳ, μακρῷ δὴ τούτου τετυχηκώς. καὶ τῆς ἡμέρας φανείσης, ἀπέλαβε τοὺς λογισμοὺς, ὧν ἐπεπόνθει ὑπὸ τῆς μέθης· αὐτὸς μὲν οὐδὼς οὐδέν, τοὺς δ' ἄλλους ἔχων διδασκάλους.

ΘΕΣΙΣ ΕΙ ΓΑΜΗΤΕΟΝ.



ΕΠΙ πολλῶν μὲν καὶ ἄλλων δοκοῦσί μοι τῆς ὀρθῆς δόξης οἱ πολλοὶ τῶν ἀνθρώπων ἁμαρτάνειν, μάλιστα δὲ τοῦτο πεπόνθασιν οἱ τὸ γαμεῖν ὡς ἐν τῶν δεινοτάτων φεύγοντες, εἶτα μέγα φρονοῦσιν ὡς εὖ βεβουλευμένοι τὰ πάντων ἀσυμφορώτατα ᾑρημένοι. καὶ διὰ τοῦτο πολλοὺς αὑτῶν καθεστᾶσι μιμητὰς, διχῆ βλάπτοντες τὸν ἀνθρώπινον βίον· οἷς τε αὐτοὶ πράττουσι, καὶ οἷς τοὺς ἄλλους παρακαλοῦσι. παραδῶμεν δὲ, εἰ δοκεῖ, τὸ πρᾶγμα λογισμοῖς. τοὺς μὲν οἷόν τε μεταστήσωμεν, τοὺς δὲ ποιεῖν ἃ ἀνδρὸς ἐστὶ νοῦν ἔχοντος ἀναγκάσωμεν. δίκαιον

δὲ θεοῖς

δὲ θεοῖς ὁμογνώμονας εἶναι, καὶ μὴ διεστάναι περὶ τὴν κρίσιν, μὴ δὲ στασιάζοντας φαίνεσθαι πρὸς τοὺς τῶν ἁπάντων κυρίους. πῶς οὖν ὁ Ζεὺς περὶ γάμου βεβούλευνται, καὶ πάντες οἱ τὸν οὐρανὸν ἔχοντες; οὐ τὴν μὲν Ἥραν αὐτὸς ἔγημε, τὴν δὲ Ἀφροδίτην Ἥφαιστος, καὶ ἄλλος ἄλλην, καὶ πατέρες ἐκλήθησαν καὶ ἀδελφοί; τί οὖν, οὐ σεμνύνονται ταῖς ἀπὸ τοῦ πράγματος κλήσεσιν; οὐ γαμήλιος μὲν ὁ Ζεύς, ἡ δὲ Ἥρα σύζυγος, ἡ δ' Ἀφροδίτη πάντα ἀφεῖσα περὶ τοῦτο διατρίβει; γάμος ἔδειξεν Ἀπόλλωνα καὶ τὴν Ἄρτεμιν, γάμος Ἄρην, γάμος τὸν Ἡρακλέα, τὴν Ἑλένην, τοὺς Διοσκούρους. οὐ γὰρ μόνον θεοὶ θεοῖς ἠξίωσαν μίγνυσθαι, ἀλλὰ καὶ μέχρι γῆς ἦλθον, τοὺς ἡμιθέους σπείροντες. οἱ δὲ ἡμίθεοι ζηλωταὶ τῶν πατέρων καταστάντες, ἐγένοντο καὶ αὐτοὶ πατέρες, οἱ μὲν καθ' ἡσυχίαν γαμοῦντες, οἱ δὲ καὶ πολέμους ὑπὲρ γυναικῶν ἀράμενοι. ἀκήκοα καὶ τοῦ Μίνω παῖδας, καὶ Δαρδάνου, καὶ Ταντάλου. εἰ δὲ τὸ γαμεῖν οὐ καλὸν ἦν, οὔτ' ἂν θεοὶ τοῦτο μετῆλθόν ποτε, τούς τε ἐξ αὐτῶν γεγονότας ταύτας ἂν ἀπέτρεπον. νῦν δὲ ἔργῳ μεμαρτυρήκασι, θείαν εἶναι τὴν ὑπὲρ τῶν παίδων μίξιν. οὔτε γὰρ μὴ τὸ βέλτιον ἰδεῖν τοὺς θεοὺς ἔστιν εἰπεῖν, οὔτ' εὖ εἰδότας, ἐξεπίτηδες πρὸ τῶν ἀμεινόνων αἱρεῖσθαι τὰ χείρω, ὅστις ἀπ' αὐ-

τοῦ πεπεισμένος παρὰ τῶν θεῶν φεύγειν τὸν γάμον, κατηγορεῖ τῶν θεῶν, ὡς τὰ φαῦλα τετιμηκότων· καὶ βούλεται δοκεῖν ἐκείνων εἶναι φρονιμώτερος, ὡς τῶν μὲν τοῦ δέοντος ἐκπεπτωκότων, αὐτὸς δὲ ὡς τὸ κάλλιστον εὑρών. ὅταν δὲ τοῦτο ποιῇ, περιφανῶς ἀσεβεῖ, καὶ γίνεται τῶν τοὺς βωμοὺς ἀνασπώντων μιαρώτερος· οὐ τιμῆς ἀποστερῶν τινὸς τοὺς κρείττονας, ἀλλὰ πονηροὺς οἷς ποιοῦσιν ἀποφαίνων, καὶ πολεμίους. ἀλλ' ἐῶ ταῦτα. τῇ φύσει δὲ ὅς τις μάχεται, πῶς ἂν σωφρονεῖν δοκοίη; τί οὖν τὸ βούλημα τῆς φύσεως εἶναι νομίζεις, ἢ γε μίξεις καὶ γονὰς καὶ τόκον; τεκμήριον δὲ τὰ μὴ μετέχοντα λογισμῶν τῶν ζώων, δι' ἐκείνης ἀνάγκης ἕλκεται, καὶ δείκνυσιν ἔκγονα. καλῶς ἄρα παρὰ ταῖς ἀρίσταις τῶν ἑλληνίδων πόλεων, ἐν ἐγκλήμασι τὸ μὴ γαμεῖν ἔκειτο. θαυμάζω δὲ, εἰ τοῖς μὲν πατράσι χάριν εἰσόμεθα τοῦ γενέσθαι, μὴ νομίζομεν δὲ καὶ αὐτοὶ ταῖς πόλεσιν ὀφείλειν τοὺς αὐθ' ἡμῶν ἐκεῖνα διαδεξομένους. ἢ χρήματα μὲν ὀφείλοντα μὴ θεῖναι δεινὸν, σώματα δὲ ὀφείλοντα μὴ φυτεῦσαι μέτριον. οὕτω τοίνυν ἀδικοῦσιν οἱ τὸν γάμον φεύγοντες, καὶ τὰ μέγιστα κακὰ καταβλάπτουσιν αὐτούς τε καὶ τὰς πόλεις, καὶ συνταράσσουσιν ἅπαντα τὰ ἐν τῇ γῇ καλά. ποῖαι μὲν γὰρ

θυσίαι

θυσίαι θεοῖς ἔτι; ποῖα δὲ βουλευτήρια; ποῖαι δὲ ἐκκλησίαι; ποῖαι δὲ στρατεῖαι κατὰ γῆν; τίνες ἀπόστολοι; τὰς δὲ πόλεις αὐτὰς πῶς οἷόν τε μένειν, ἂν τοὺς ἐνοικοῦντας ἐξέλοι τις; ἐρημωθεῖεν αὖ αἱ πόλεις, εἰ σταίη τὰ τῶν γάμων, καὶ μὴ προβαίνη. ὅταν γὰρ μὲν ὄντες ἀπίωσιν, οἱ δὲ ἀντ' ἐκείνων μὴ φαίνωνται, πῶς οὐκ ἀνάγκη τοῦθ' ὅπερ ἔφην συμβαίνειν; καὶ μὴν οὐδ' ἐκεῖνο γε ἔστιν εἰπεῖν, ὡς κοινῇ μὲν ταῖς πόλεσι λυσιτελεῖ, τοῖς δὲ καθ' ἕκαστον οὐδὲν ὠφελεῖ. καὶ γὰρ ἐκείνοις πολλὰ αὖ ἐκ τοῦ πράγματος τὰ συμφέροντα γένοιτο. τῷ πλουσίῳ μὲν ἡ περιουσία διπλασία καθίσταται, τῷ πένητι δὲ πολλάκις μὲν χρήματα προσεγένετο, πολλάκις δὲ ἀντ' ἐκείνων ὁ τῆς γυναικὸς ὁ τρόπος, χρηστῆς τε οὔσης καὶ σώφρονος καὶ φιλεργοῦ. ἐν μὲν τοῖς ἀγαθοῖς ὁ γεγαμηκὼς ἕξει τὴν συνηδομένην. ὁ μὲν ἐργασάμενος χρήματα διατρίβων ἐπ' ἀγορᾶς, ἡ δὲ ἔνδον λαβοῦσα διεφύλαξεν. ἀλλ' οὐκ οἰκέται μάταιον ποιοῦντες τῷ δεσπότῃ τὸν πόνον. ἔτι τοίνυν τράπεζαι τοῖς γεγαμηκόσιν ἡδίους, ὅταν ἐπανιὼν ἐπαγγέλλῃ πρὸς τὸ γύναιον τὴν ἔξω λαμπρότητα. καὶ μὴν ὅς τις ἐπιθυμεῖ γῆν πολλὴν ἐπελθεῖν καὶ θάλατταν, καὶ πόλεις γνῶναι, καὶ τρόπους ἀνθρώπων ἐκμαθεῖν, οὗτος ὑπὲρ τῆς οἰκίας τεθαῤῥη-

κώς

κῶς καὶ πλεῖ καὶ βαδίζει. εἰ δὲ αὐτὴ τις ἀναγκά-
ζοιτο καὶ τ' ἄνδρα διοικεῖν, καὶ τῶν κοινῶν ἐπι-
μελεῖσθαι, κακὸς ἂν εἴη καὶ πολιτευόμενος καὶ τῆς
οἰκίας φύλαξ, μεριζομένης αὐτῷ τῆς γνώμης εἰς
ἑκατέραν φροντίδα, καὶ διὰ τὸ μηδέτερον
ἱκανῶς ἐπιτελούσης. τὸ δὲ πάντων βαρύτατον,
ἀνθρώποις ἀῤῥωστία καὶ νόσος μίαν ἔχει μεγίστην
παραμυθίαν, γυναῖκα παρακαθημένην. καὶ
πάντες κάμνουσι θεραπεύοντες, ἀδελφοί,
θεῖος, ἀνεψιός, οἱ λοιποὶ συγγενεῖς, ἐπιτήδειοι,
φυλέται, μόνη καθάπερ ἀδαμαντίνη πρὸς τοὺς
πόνους ἀρκεῖ, δακρύουσα, τρέμουσα, περιτρέχου-
σα, τοὺς ἰατροὺς ἱκετεύουσα, τοῖς θεοῖς εὐχομένη,
τὸ κακὸν ἀπὸ τοῦ συνοικοῦντος ἐπ' αὐτῇ μετα-
στῆσαι. τῶν γεγαμηκότων ἀνάγκη καὶ τοὺς οἰκέ-
τας εἶναι κοσμιωτέρους. ἡ γὰρ πονεῖν ἀναγκά-
ζουσα, καὶ τρυφᾷν οὐκ ἐπιτρέπουσα, καὶ τῶν δρω-
μένων ἕκαστον ἐπισκεπτομένη, καὶ πανταχοῦ περιά-
γουσα τοὺς ὀφθαλμοὺς ἔνδον κάθηται. εἰ δὲ τὸ
φίλων πολλῶν εὐμοιρεῖν μέγα, τὸ γένει προσθεῖ-
ναι γένος, πῶς οὐ χρησιμώτερον; οὐδὲν γὰρ ἄλλ'
ἢ τεῖχος τῶν γεγαμηκότων γίνεται, τὸ πλῆθος τῶν
οἰκείων. οἱ κατηγοροῦντι μὲν συγκατηγοροῦσι,
κρινομένῳ δὲ συναπολογοῦνται, ἀδικουμένῳ δὲ
βοηθοῦσι, βουλευομένῳ δὲ συμπράττουσι. διὰ τὸ
πολλοὺς

πολλὰ μὲν ἐστὶν ἰδεῖν, πολλὰ δὲ ἀκοῦσαι, πολλὰ δὲ προγνῶναι, πολλὰ δὲ μὴ παθεῖν. ὁ δὲ δὴ μέγιστος καὶ χρησιμώτερος καὶ κάλλιστος τοῦ γάμου καρπὸς, οἱ παῖδες· νῦν μὲν ὄντες τῶν ἔργων συλλήπτορες, νῦν δὲ γηροτρόφοι. μετὰ ταῦτα δὲ θάπτοντος, ἔπειτα κοσμοῦντος τοὺς τάφους ἐνιαυτῶν πληρουμένων. εἰ δὲ δὴ καὶ οἱ παῖδες ἀγαθοὶ γένοιντο, καί τινος ἀρετῆς μετειληφότος, πηλίκον ἂν εἴη τῷ πατρί; καὶ γὰρ ἂν μὴ τῶν λαμπρῶν ἐκεῖνος ᾖ, καὶ τῶν ἀπὸ γενεᾶς τινὸς γνωριζομένων, ἧς οὖν ἐγέννησεν εὐκλείας κοινωνήσας ὀνομαστὸς κατέστη. ἔστι δὲ πρῶτον μὲν μέγιστον καὶ ἀγαθὸν αὐτὸν εἶναι οὕτως

ἀεὶ λειπόμενον τοιούτους υἱοὺς παρέχεσθαι. τί οὖν τῶν τοιούτων εὐδαιμονίαν παραβάλλοι τις, ἢ ῥητορικὴν, ἢ φιλοσοφίαν, ἢ πρεσβείαν, ἢ στρατείαν; ἀρκεῖ γὰρ εἰς ἅπασαν εὐδαιμονίαν, τὰ τῶν ἐγγόνων τοῖς γεννήσασι παρὰ πάντων ἔργα θαυμαζόμενα. τὰ τοίνυν καλὰ, λόγος εἶναι χαλεπά. τοῦτο δὲ ὂν ἡλίκον ἐδείξαμεν, καὶ τὸ ῥαδίως ἦν πραττομένων· ἐπειδὰν γάρ τις ὁρμήσῃ γαμεῖν, προσῆλθε τοῖς τὰ τοιαῦτα πράττουσιν. εἶπεν ὅτου δέεται· προσέπεμψε τῷ τρέφοντι παρθένον. ὁ δὲ ἐλθὼν ἐπῄνεσε τὸν νεανίσκον, τὸ γένος,

νος, τὴν φύσιν, τὴν σωφροσύνην, ἐμνήσθη που τῆς
τῆς οὐσίας μέτρου. καὶ ἡ πείσας οὐδεὶς ἀπῆλθον, ἢ
εἰ μὴ τοῦτο, δευτέρα καὶ τρίτη πρόσοδος τὴν
σπουδὴν ἐπλήρωσεν. ἄλλως δ' ὅταν καὶ πρὸς τὴν
αὐτοῦ τύχην ἕκαστος μετείη τὴν κόρην· ὁ εὔ-
πορος, τὴν πολλὰ κεκτημένην· ὁ χρημάτων ἐν-
δεής, τὴν οὐχ ὑπερβάλλουσαν τῷ κλήρῳ. καί τοι
τοὺς ἥττας ἴσμεν ἀξιωθέντας γυναικὸς πλούτῳ
νικώσης. ἅμα δὲ τῷ γάμῳ, καὶ δόξα βελτίων
συμπεριέρχεται. ὅτε γὰρ πρότερον ἐπαινούμενος,
θαυμαστότερος γίνεται, καὶ μᾶλλον δοκεῖ σω-
φρονεῖν. οἷς τέ τινες ἦσαν πρὸ τῶν γάμων αἰτίαι,
λέλυνται. καὶ ὅλως ἐλευθέρου σχήματος αὐτὸν
ποιουμένῳ πρέπον, παρὰ μὲν γυναικὸς ἐπὶ
τὰ κοινὰ προϊέναι, παρὰ δὲ γυναῖκα πάλ-
λιν ἀπὸ τῶν κοινῶν ἀναστρέφειν. τούτῳ καὶ
συμβουλεύοντι προσέχουσι, καὶ πρεσβείαν
ἐγχειρίζουσι, καὶ δίαιταν ἐπιτρέπουσι. δοκεῖ
γὰρ ὁ παῖδας τρέφων, καὶ θεοὺς φοβεῖσθαι,
καὶ ἀνθρώπους αἰσχύνεσθαι, καὶ δόξης ἐπιθυ-
μεῖν. δόξα τῷ μὲν οὐ βουληθέντι γαμεῖν, ἡ χείρων,
τῷ δὲ ἑλομένῳ συνοικεῖν, ἡ βελτίων ἀναγ-
καίως ἕπεται. καὶ τοσοῦτον ἰσχύει τούτων ἑκάτε-
ρον, ὥστε ὁ μὲν ἄγαμος, κἂν σωφρονῇ, τὴν
ἐναντίαν τύχην ἐφέλκεται. ὁ δ' οὖν γεγα-

μηκῶς, ἐὰν εἰς ἡδονὰς ἐκφέρηται, συκοφαντεῖσθαι δοκεῖ. πολλὴν γὰρ ἔχει ἀνάγκην εἰς τὸ σωφρονεῖν τὸ γύναιον, ἐξελεγχόμενοι δ' εἶναι ὑπὸ τῶν εἰρημένων, ὅτι τῶν καλλίστων αὑτοὺς ἀποστεροῦσιν οἱ φεύγοντες τὸν γάμον, τὰς μοιχείας φασὶ δεδοίκαμεν, καὶ βαρὺ τὰς τῶν παίδων ἀποβολὰς ἡγούμεθα, ὥσπερ ταῦτα πάντα ἀκολουθοῦντα τῷ γάμῳ. καίτοι, τίς οὐκ οἶδεν, ὡς αἱ μοιχεῖαι μὲν ὀλίγοις, τὸ δὲ σωφρονεῖν ἐν τοῖς πλείοσι; καὶ περὶ τῶν παιδίων ἴσον λέγω. πλείους μὲν ἴσμεν σωθέντας, ἢ τεθνεῶτας. πάντων οὖν ἀτοπώτατον, εἰ τῶν παραδειγμάτων πειθόντων, ὅτι μᾶλλον ἔστιν ἀπολαῦσαι τῶν χρηστῶν ἢ περιπεσεῖν ταῖς συμφοραῖς, δείσομεν τὸ πρᾶγμα μᾶλλον ἢ ζητήσομεν. καὶ ταῦτα, πολλῆς βοηθείας εἰς ἀμφότερα ταῦτα προφαινομένης. οὐ γὰρ ὀλίγον εἰς σωφροσύνην γυναικῶν αἱ συμβουλίαι δύνανται, καὶ τὸ φυλάττειν· οὐδέ γε εἰς σωτηρίαν παίδων θυσίαι, καὶ ἀναθήματα. ὅλως δὲ, εἴ τις ἄνθρωπος ὢν ζητεῖ τινα πρᾶξιν καθαρὰν δυσκολίας, οὐκ οἶδε ζητῶν ἃ θεῶν ἐστὶ μόνων. ἐπεὶ τίνι τῶν πάντων οὐ συνέζευκται λυπηρά; ἀκούεις τῶν γεωργῶν, αἰτιωμένων νῦν μὲν τοὺς αὐχμοὺς, νῦν δὲ τὴν

τῶν ὄμβρων ὑπερβολήν; ὁ τῶν κατὰ θάλασσαν ἐμπόρων τὰ θαλάσσης κακὰ, τοὺς σκηπτοὺς, τὰ κύματα, τοὺς λῃστὰς, ἕτερα μυρία; οὐ σήμερον ὁ ῥήτωρ σώζεται, τῇ δ' ὑστεραίᾳ ἐν γραφαῖς ἐστὶ καὶ κινδύνοις. ἀθλητὴς δὲ παγκρατιάζων, ἤδη που τὸν ὦμον ἐξεκόπη· ἀλλ' οὐκ ἀφίησιν αὐτοὺς τῶν ἔργων ὁ φόβος. εἰ δὲ ὥσπερ ὑμεῖς οὐ γαμεῖτε διὰ τὰς μοιχείας, οὕτως ἐκείνων οἱ μὲν τὸ γεωργεῖν, οἱ δὲ τὸ πλεῖν, οἱ δὲ τὸ πολιτεύεσθαι, καὶ τὰ κοινὰ πράττειν ἔφυγον, κατελέλυτο ἂν πάντα τὰ κοσμοῦντα τοῖς ἀνθρώποις τὸν βίον. τί οὖν ἐγώ φημι δεῖν ἐκεῖνο μᾶλλον μὲν ἐννοεῖν ὑμέναιον, κρότους, τοὺς παραπέμποντας, τοὺς δαιτυμόνας, δᾷδας, εὐωχίας, παίδων ἐλπίδας, ὧν οὐδὲν ἥδιον τοῖς εὐφρονοῦσι τῶν ἀνθρώπων.

THEONIS

RERVM ET VERBORVM IN Theonis Sophistæ Progymnasmatis memorabilium Index.

B

C

Chriæ

Com-

Duci

Exorna-

Fortes

Homeri

Simonidis

FINIS.

PROGYMNASMATVM THEOnis Sophistæ Capita.

PARADIGMATVM, SIVE exemplorum ſeries.

Nar-

BASILEAE,
SVMPTV ET CVRA IOANNIS OPORINI, MENSE
Septembri, Anno
M. D. XXXXI.

Hic iacet Arpinas manibus tumulatus amici.
Qui fuit orator summus et eximius
Quem nece crudeli damnavit civis et hostis
Nil agis Antoni: scripta diserta manent
Vulnere nempe uno Cicerone [illegible] et te
Tullius innumeris vulneribus laceras

[illegible]rum apo[illegible] [illegible] Rhodi cum Cicero Graece perorasset
ceteris laudantibus tacuisse: tandem rogatus
inquit mihi ita est eloquentia ego te laudo et admiror
[illegible]

